68
6 E
11

R. II ed To I p 148 - n 7

Ex Bibliotheca
majori Coll. Rom.
Societ. Jesu
IV. 8. 6

33. 620

5-9-D. 5-1

Platonis

Libri X. de Republica — pag. — 1 —
Timeus, siue De Natura — pag. — 142 —
Critios, siue Atlanticus — pag. — 180 —
Minos, siue De Lege — pag. — 189 —
De Legibus Libri XII. — pag. — 194 —
Epinomis, siue Philosophus. — pag. — 365 —
Platoni adscripti Dialogi VIII. — pag. — 382 —
Eiusdem Epistolæ XIII. — pag. — 411 —

BIBLIOTECA NAZ. ROMA

Timei Locri.

De Anima Mundi — pag. — 375 —

Venetijs.

In Aedib: Aldi, et Andreæ Soceri Mense Septembri MDXIII.

BIBLIOTECA NAZ. ROMA

Α τέβλιν χθὲς εἰς Πειραιᾶ μετὰ Γλαύκωνος τοῦ Ἀρίστωνος, προσ-
ευξόμενός τε τῇ θεῷ, καὶ ἅμα τὴν ἑορτὴν βουλόμενος θεάσα-
σθαι τίνα τρόπον ποιήσουσιν, ἅτε νεῶν πρῶτον ἄγοντες. καλὴ
μὲν οὖν μοι καὶ ἡ τῶν ἐπιχωρίων πομπὴ ἔδοξε εἶναι. οὐ μήν
τοι ἧττόν γε ἐφαίνετο πρέπειν, ὧν οἱ Θρᾷκες ἔπεμπον. προσευ-
ξάμενοί τε καὶ θεασάμενοι, ἀπῇμεν πρὸς τὸ ἄστυ. καὶ τηδὲ δὴ
οὖν πόρρωθεν ἡμᾶς ἤδη κατὰ νῶτα πολέμαρχος ὁ Κεφάλου, ἐκέλευσε δραμόντα τὸν παῖδα περιμεῖναί τε κελεύσαι.
καί μου ὄπισθεν ὁ παῖς λαβόμενος τοῦ ἱματίου, κελεύει ὑμᾶς ἔφη πολέμαρχος, περι-
μεῖναι. καὶ ἐγὼ μετεστράφην τε καὶ ἠρόμην, ὅπου αὐτὸς εἴη. οὗτος ἔφη, ὄπισθεν προ-
σέρχεται. ἀλλὰ περιμένετε. ἀλλὰ περιμενοῦμεν δῆτα. καὶ ὀλίγον ὕστε-
ρον, ἦλθε, καὶ Πολέμαρχος ἦκε, καὶ ἀδελφὸς ὁ τοῦ Γλαύκωνος ἀδελφός, καὶ νικήσας
ὁ νικίου, καὶ ἄλλοι τινὲς ὡς ἀπὸ τῆς πομπῆς. ὁ δὴ πολέμαρχος ἔφη. Ὦ Σώκρατες,
δοκεῖτέ μοι πρὸς ἄστυ ὡρμῆσθαι ὡς ἀπιόντες. οὐ γὰρ καλῶς δοξάζεις ἦν δ' ἐγώ.
ὁρᾷς οὖν ἡμᾶς ἔφη, ὅσοι ἐσμέν; πῶς γὰρ οὔ. Ἢ δεῖ ναὶ τούτων ἔφη κρείττους γέν-
εσθαι, ἢ μένειν αὐτοῦ. οὐκ ἔστιν ἦν δ' ἐγώ, ἔτι σὺ λείπεται, ἢ, ἦν πείσωμεν ὑμᾶς ὡς χρὴ
ἡμᾶς ἀφεῖναι. Ἢ καὶ πείσεσθ' ἂν ἦ δ' ὅς, πεῖσαι μὴ ἀκούοντας; οὐδαμῶς ἔφη ὁ
Γλαύκων. ὡς τοίνυν μὴ ἀκουσόμεθα, οὕτω διανοεῖσθε. καὶ ὁ Ἀδείμαντος. ἆρά
γε ἴσμεν, οὐκ ἴστε ὅτι λαμπὰς ἔσται πρὸς ἱππέως ἀφ' ἵππων τῇ θεῷ; ἀφ' ἵππων
ἦν δ' ἐγώ; καινὸν γε λέγεις. λαμπαδηδρομίαν ἔχοντες διανύσουσι ἀλλήλοις ἀμιλλώμενοι
ζῶσι ἵπποις, ἢ πῶς λέγεις. οὕτως ἔφη ὁ Πολέμαρχος. καὶ πρόσεστι, παννυχίδα ποιή-
σουσιν, ἦν ἄξιον θεάσασθαι. ἀναστησόμεθα γοῦν μετὰ τὸ δεῖπνον, καὶ ἥξομεν παννυχί-
δα θεασόμενοι. καὶ ξυνεσόμεθά τε πολλοῖς τῶν νέων αὐτόθι καὶ διαλεξόμεθα. ἀλλὰ
μένετε, καὶ μὴ ἄλλως ποιεῖτε. καὶ ὁ Γλαύκων. ἔοικεν ἔφη μενετέον εἶναι. ἀλλ'
εἰ δοκεῖ καὶ ὑμῖν δ' ἐγώ, οὕτω χρὴ ποιεῖν. ἴμεν οὖν δὴ οἴκαδε εἰς τὸν πολέμαρχον; καὶ ἐνεῦρον
τε αὐτόθι καὶ τλάσομεν, καὶ αὐθύσομεν, τοὺς τοῦ πολεμάρχου ἀδελφούς. καὶ δὴ καὶ
θρασύμαχον ἦν χαλκηδόνιον καὶ χαρμαντίδην ἦν παιανιέα. καὶ κλειτοφῶντα, ἦν
ἀρίστωνύμου. ὑμῖν δ' οὖσιν καὶ ὁ πατὴρ ὁ τοῦ πολεμάρχου κέφαλος. καὶ μάλα πρόσθεν
μοι ἔδοξε εἶναι, ὅτε χρόνον γοῦν καὶ ἑωράκειν αὐτὸν καὶ ἐνθένδε δὲ ἐστεφανωμένος, ἐπὶ
τινος προσκεφαλαίου τε καὶ πίλους, τεθυκὼς γοῦν ἐτύγχανεν αὐτὸ τῇ αὐλῇ. ἐκαθεζό-
μεθα οὖν παρ' αὐτόν. ἔκειντο γοῦν πίλοι τινὲς αὐτόθι κύκλῳ. αὖθις οὖν με ἰδὼν ὁ
κέφαλος, ἐκάστιζέ τε, καὶ εἶπεν. Ὦ Σώκρατες, οὐδὲ βαμίζεις ἡμῖν καταβαίνων
εἰς τὸν Πειραιᾶ. χρὴ μέντοι, εἰ μὲν γοῦν ἔτι ἔτι ἐν ἐμαυτῷ μὲν τ' ἐμαυτοῦ τορεύεσθαι
πρὸς τὸ ἄστυ, οὐδὲν ἂν σε ἔτι μᾶλλον ἐᾶν ἡμᾶς ἀπιέναι. νῦν δέ σε χρὴ πυ-
κνότερον μᾶλλον ἰέναι. ὡς ἂν ἴδῃ, ὅτι ἔμοιγε ὅσον αἱ ἄλλαι αἱ κατὰ τὸ σῶμα ἡδοναὶ ἀπο-
μαραίνονται, τοσοῦτον αὖξονται αἱ τοῦδε τοὺς λόγους ἐπιθυμίαι τε καὶ ἡδοναί. μὴ
οὖν ἄλλως ποιεῖ. ἀλλὰ τοῖσδέ τε ταῖς παιδιαῖς ξυνίωθι, καὶ μᾶλλον παρ' ἡμᾶς φοίτα, ὡς
παρὰ φίλους τε καὶ πάνυ οἰκείους. καὶ μὴν ἐγὼ καὶ Γλαύκων κέφαλε, χαίρων διαλεγό-
μενος τοῖς σφόδρα πρεσβύταις. δοκεῖ γάρ μοι χρῆναι παρ' αὐτῶν πυνθάνεσθαι, ὥς
ποτέ τινα ὁδὸν προιόντων, ἴσως καὶ ἡμᾶς ἴσασι πορεύεσθαι, πεῖσαι τοῖς ὅτι. ἔστι
γὰρ καὶ χαλεπὴ, ἢ ἐρᾴδιος καὶ ὕπερος. καὶ δὴ καὶ σοῦ ἥδιστ' ἂν πυθοίμην, ἔστι σοι φαί
νεται ἔσται. ἐπεὶ καὶ ταύτης ἤδη ἔπεστι τῆς ἡλικίας, ὃ δὴ λέγασι γέρας οὐ λίθ φασιν εἶναι ἀ
ποιητεῖ, πότερον χαλεπὸν τοῦ βίου, ἢ πῶς σὺ αὐτὸ ὑβαγγέλλεις. ἔτ' σοι ἔφη ὦ τ
λὰξ ὁρᾷ Ὦ Σώκρατες, δέον γέ μοι φαίνεται. πολλάκις γὰρ σὺν ἄλ χρόμεθα πρὸς εἰς τοι
τό, περαπολιόπαν ἡλικίαν ἔχοντες, διασώζοντες πὼ παλαιὰ προιμίαν. οἱ δ' ἂν πολλοὶ
ἡμῶν, ὀλοφύρονται ξυνιόντες, πρὸς αὐ τῇ πότητι ὑδονὰς ποθοῦντες καὶ ἀπαμε-

μνησκόμενοι περί τε τἀφροδίσια, καὶ τοῦδε πότους καὶ διαχύσεις, καὶ ἄλλα ἃ τοιούτων ἔχεται· καὶ ἀγανακτοῦσιν, ὡς μεγάλων πόνων ἀπεστερημένοι· καὶ τότε μὲν, οὐ ζῶντες· νεῶν δὲ, οὐδὲ ζῶντες. εἰσὶ δὲ, καὶ τοὺς τῶν οἰκείων προσπλακίσειε τῷ γέρωτι, ὀδύρονται. καὶ ἐμοὶ δοκοῦσιν ὑμνοῦσιν, ὅσων ἡμεῖς σοφίσμάτων ἄπιον· ἐμοὶ δὲ δοκοῦσιν ὦ σώκρατες οὗτοι, οὐ τὸ ἄπιον ἀκτᾶσθαι. εἰ γὰρ διὰ τοῦτο ἄπιον, καὶ ἐτὼ τἀναντία ταῦτα ἐπεπόνθειν, εἴπερ γε γέρως, καὶ οἱ ἄλλοι πάντες ὅσοι οὐταῦθα ἦλθον ἡλικίας· νῦν δὲ ἐτὼ ἴσθι οὐ τετύχηκα· οὐχ οὕτως ἔχουσι καὶ ἄλλοις. καὶ δή ποι καὶ σοφοκλεῖ πού τε τῷ ποιητῇ παρεγενόμην ἐρωτωμένῳ ὑπό τινος· Γῶς ἔφη ὦ σοφόκλεις ἔχεις πρὸς τἀφροδίσια· ἔπη δός τι εἰ γυναικὶ συγγίγνεσθαι; καὶ ὃς, εὖ φήμι ἔφη ὦ ἄνθρωπε· ἀσμενέστατα μέν τοι αὐτὸ ἀπέφυγον, ὡς πού λυττῶντά τινα καὶ ἄγριον δεσπότην ἀποφυτόν. εὖ οἶδα μοι καὶ τότε ἔδοξεν ἐκεῖνος εἰπεῖν, καὶ νῦν οὐκ ἔπεσεν· παντάπασι γοῦν τῶν γε τοιούτων οἱ τῷ γέρᾳ, πολλὴν εἰρήνην γίνεται καὶ ἀλυσιτελῆ. ἐπειδὰν γοῦν αἱ ἐπιθυμίαι παύσωνται καὶ τανύουσαι καὶ χαλάσωσι, παντάπασι ἡ τοῦ σοφοκλέους γίνεται. δεδιασιν πάνυ πολλῶν ὄντι καὶ μανομένων ἀπολλάχθαι. ἀλλὰ καὶ σύτων πέρι, καὶ τῶν γε πρὸς τοὺς οἰκείους, μία τις αὐτία ἐστίν, οὐ γὰρ σώκρατες, ἀλλ' ὁ τρόπος τῶν ἀνθρώπων· αὐ μὲν γοῦν κόσμιοι καὶ εὔκολοι ὦσι, καὶ ἡ γέρᾳ μετρίως ἔσται ἐπὶ πονον· εἰ δὲ μὴ, καὶ γέρᾳ ὦ σώκρατες καὶ νεότης, χαλεπὴ τῷ ἀνθρώπῳ ξυμβαίνει. καὶ ἐτὼ ἀκαθὲς αὖτ' ἐπόντος ταῦτα, ἐκάλεσέ με ἐπὶ λέγειν αὐτῇ, ἐπέσπω, καὶ εἶπον· ὦ κέφαλε, δοκεῖ σοι τοὺς πολλοὺς ὅταν ταῦτα λέγῃς, οὐκ ἀποδέχεσθαι ἀλλ' ἡγεῖσθαί σε, ῥᾳδίως τὸ γέρᾳ φέρειν, οὐ διὰ τὸν τρόπον, ἀλλὰ διὰ τὸ πολλὰ οὐσίαν κεκτῆσθαι· τοῖς γοῦν πλουσίοις, πολλὰ παραμύθια φασὶν εἶναι. ἀληθῆ ἔφη λέγεις· οὐ γοῦν ἀποδέχονται, καὶ λέγουσι μέν τι· οὐ μέν τοι γε ἴσον δοκοῦσι. ἀλλὰ τῷ Θεμιστοκλέους δοκεῖ, ὃς τῷ σεριφίῳ λοιδουμένῳ, καὶ λέγοντι· ὅτι οὐδ' αὐτὸν, ἀλλὰ διὰ τὴν πόλιν δόξαν μοι, ἀπεκίνατο. ὅτι, οὔτ' ἂν αὐτὸς σεριφίος ὢν ὄνομαστὸς ἐγένετο, οὔτ' ἐκεῖνος ἀθηναῖος· καὶ τοῖς δὴ μὴ πλουσίοις, χαλεπῶς δοκεῖ τὸ γέρᾳ φέρουσιν, ὃ ἔχει ὁ αὐτὸς λόγος· ὅτι, οὔτ' ἂν ἐπιεικὴς πάνυ δοκεῖ ῥᾳδίως γέρᾳ μιᾷ πενίᾳ ἀλύγειν, οὔθ' ὁ μὴ ἐπιεικὴς πλουτήσας, δύσκολός ποτ' αὐτῷ γένοιτο. Γρόσθεν δὴ δοκεῖ ἐτὼ κέφαλε· ὧν κέκτησαι τὰ πλεῖστα παρέλαβες, ἢ ἐπικτήσω· Γοὐκ ἐπικτησάμην ἔφη ὦ σώκρατες· μέσος τις γέγονα χρηματιστής. τῶν τε πατέρων καὶ τῶν παρ' ἐμέ· ὁ μὲν γὰρ πατὴρ τοσοῦτος τε καὶ οἱμάνυμος ἐμοὶ, ὃν δύο τάλαντα ἐτὼ ναῦν οὐσίαν κέκτημαι παραλαβών, πολλαπλασίω τοσαύτην ἐποίησε· λυσανίας δὲ ὁ πατὴρ, ἔτι ἐλάττω αὐτοῦ ἐποίησε τῆς ναῦν οὔσης. ἐτὼ δὲ ἀγαπῶ, ἐὰν μὴ ἐλάττω κατ' ἀλίπτω ζώσιν ἀλλὰ βραχεῖσί τιν, πλείω ἢ παρέλαβεν. τοῦτον οὖν ἐγὼ μὲν δὴ ἐγὼ, ὅτι μοι δοκεῖ, οὐ σφόδρα ἀγαπᾶν τὰ χρήματα· ἔστι δὲ ποιοῦσιν ὡς ἡ πλὴ, οἱ αὖ μὴ αὐτοὶ κτήσωνται· οἱ δὲ κτησάμενοι, δι' ἃ ἢ οἱ ἄλλοι ἀσπάζονται αὐτά· ὥσπερ ἡ οἱ ποιηταὶ τὰ αὐτῶν ποιήματα, ἡ οἱ πατέρες τοὺς παῖδας ἀγαπῶσι, ταύτη τε δὴ ἡ οἱ χρηματισάμενοι, περὶ τὰ χρήματα σπουδάζουσιν ὡς ἔργον ἑαυτῶν· καὶ κατὰ τὴν χρείαν, ὥσπερ οἱ ἄλλοι. χαλεποὶ οὖν καὶ ξυγγενέσθαι εἰσὶν· οὐδὲν ἐθέλοντες ἐπαινεῖν, ἀλλ' ἢ τὸν πλοῦτον. ἀληθῆ ἔφη λέγεις. Γαὐτὰ μὲν δὴ δοκεῖ ἐτὼ· ἀλλά μοι ἔτι τόδε σκόπει· τὸ μέγιστον οἶει ἀγαθὸν ἀπολελαυκέναι τῷ πολλὴν οὐσίαν κεκτῆσθαι. ἔγωγε, ἴσως οὐκ ἂν πολλοὺς πείσαιμι λέγων· ὅτι ἔπεισέ με ἔφη ὦ σώκρατες. ὅτι ἐπειδή τις ἐγγὺς ἦ, τοῦ οἴεσθαι πελάσειν, εἰσέρχεται αὐτὸν δέος μὴ φθάσῃ τις, πρὸ ὧν ἐμπροσθεν οὐκ εἰσήει· εἴ τι ἀληθὲς λέγομεν μῶν οἱ περὶ τὸν ἅιδου. ὡς ἐνθάδε ἀδικήσαντα δεῖ καὶ δοῦναι δίκην, καὶ τἀγαλλόμενον τῶν, τότε δὴ φοβοῦσιν αὐτὸν μὴ ἀληθῆς ὦσι. μὴ αὐτὸς, ἢ ὑπὸ τοῦ γέρως ἀθυμήσας, ἢ καὶ ὧς πρὸ ἔδη ἐγγυτέρω ὢν τῶν ἐκεῖ, μᾶλλόν τι καθορᾷ αὐτά. ὑποφίας δ' οὖν μὴ δείμακρος μεσὸς γίνεται. μὴ ἀπολογίζεται ἔδη μὴ σκοπεῖ. εἴ τινά τι ἠδίκηκεν· ὁ μὲν οὖν εὐσέβειαν ἑαυτῷ ὁ τῷ βίῳ πολλὰ ἀδικήματα. καὶ ἐκ τ' ὕπνων ὥσπερ οἱ παῖδες θαμὰ ἐγειρόμενος, δειμαίνει· μὴ ζῷ μή τις ἐλπίδος. ᾧ μὲν δὴ ἐν

ἑαυτῷ

ἑαυτῷ ἄδικον ξυνοικοῦντι, ἀλλὰ καὶ ἐλπὶς ἀεὶ παύεται· καὶ ἀγαθὴ γε ἡ ξύφορος, ὡς καὶ Πίνδαρος λέγει· χαριέντως γοῦν μοι ὦ Σώκρατες δοκεῖ εἰπεῖν, ὅτι ὃς ἂν δικαίως καὶ ὁσίως τὸν βίον διάγῃ, γλυκεῖά οἱ καρδίαν ἀτιτάλλοι᾽ ἃ γηροτρόφος συναίρεται ἐλπὶς· ἃ μάλιστα θυμὸν πολύστροφον γνώμαν κυβερνᾷ. ὧν ἕν λέγει θαυμασίως ὡς σφόδρα. πρὸς Διὸς τοῦτ᾽ ἔστιν, τίθημι καὶ τῶν χρημάτων κτῆσιν, ὠφελίαν εἶναι, οὐ τοῖς παντὶ ἀνδρί· ἀλλὰ τῷ ἐπιεικεῖ· ἢ γὰρ μὴ δι᾽ ἄλλο τι ἄλλα πᾶσαι ἢ μᾶλλον ὠφελεῖν, μὴ δ᾽ αὖ ὀφείλοντα ἢ θεῷ θυσίαν τινάς, ἢ ἀνθρώπῳ χρήματα, ἢ τι τοιαῦτα ἀποδοῦναι, μέγα μέρος εἰς εὖ ζῆν ἡ τῶν χρημάτων κτῆσις συμβάλλεται. ἔχει δὲ καὶ ἄλλως χρεία πολλάς· ἀλλά γε οὐδὲν οὕτως, οὐκ ἐλάχιστον ἔγωγε θείη ἂν εἰς εὖ ζῆν, ἀνδρὶ νοῦν ἔχοντι ὦ Σώκρατες· ὠφελοῦντα χρησιμώτατον εἶναι. Καλῶς ὦδ᾽ εἶπες ὦ Κέφαλε. ἀλλὰ δ᾽ αὐτὸ τοῦτο δικαιοσύνην, φῶμεν ἀλήθειαν αὐτὸ φύσιν ἢ ἀπλῶς οὕτω· μὴ τὸ ἀποδιδόναι αὖ τίς τι παρά του λάβῃ, ἢ μὴ αὐτὰ ταῦτα δίκαιον οἷόν τε μὲν δικαίως, οἷόν τε δὲ ἀλλοίως ποιεῖν. οἷον τοιόνδε λέγω. πᾶς ἄν που ὁμολογήσειε, εἴ τις λάβοι παρὰ φίλου καὶ σφρονοῦντος ὅπλα, ἐμμανὴς ἀποδοῦναι τοῦτον, ὅταν αὐτὰ ταῦτα ἀποδιδόναι, οὔτε δίκαιος ἂν εἴη ὁ ἀποδιδούς· οὐδ᾽ αὖ πρὸς τὸν οὕτως ἔχοντα πάντα ἐθέλων τἀληθῆ λέγειν. ὀρθῶς ἔφη λέγεις. οὐκ ἄρα οὔτε ἕρος δίκαιον οὔτε ἀλήθειά τις λέγειν· καὶ ἄλλο τις ἀποδιδόναι. Ναὶ μὰ Δία ἔφη ὦ Σώκρατες ὑπολαβὼν ὁ πολέμαρχος· εἰ πού γέ τι χὴ σμωνίδῃ πείθεσθαι. ἐμὲ μέν τοι ἔφη ὁ Κέφαλος, καὶ παραλείπω μὲν ὑμῖν τὸν λόγον· δεῖ γάρ με ἤδη τῶν ἱερῶν ἐπιμεληθῆναι. οὐκοῦν ἔφην ἐγὼ ὁ πολέμαρχος τῶν σῶν κληρονόμος; πάνυ γε ἦ δ᾽ ὃς, γελάσας. καὶ ἅμα ἴει πρὸς τὰ ἱερά. λέγε δὴ σὺ ἔφην ἐγὼ σὺ ὁ τῷ λόγου κληρονόμος. τὶ φὴς ἦν σμωνίδην λέγοντα, ἀρθῶς λέγειν ἢ δικαιοσύνην. ὅτι δὴ ὃς. ἀποδιδόναι ὀφειλόμενα ἐκάστῳ, δίκαιόν ἐστι λέγειν, δοκεῖ ἐμοὶ καλῶς λέγειν. ἀλλὰ μήν τοι ὦ δ᾽ ἐγὼ, σμωνίδην γε οὐ ῥᾴδιον ἀπιστεῖν· σοφὸς γὰρ καὶ θεῖος ἀνήρ. τοῦτο μέν τοι. ὅτι ποτὲ λέγει, σὺ μὲν ὦ πολέμαρχε ἴσως γιγνώσκεις· ἐγὼ δὲ ἀγνοῶ. δῆλον γοῦν ὅτι οὐ ταῦτα λέγει ἅπερ ἄρτι ἐλέγομεν, ἐμέ, τινὸς παρακατατεθειμένου τὶ ὀρθῶς, μὴ σωφρόνως ἀποτυγχάνοντα, ἀποδιδόναι καί τοι γε ὀφειλόμενόν που ταῦτ᾽ εἶναι ὁ παρακατατεθείς; Ναί. ἀποδοτέον δέ γε οὐδ᾽ ὁπωστιοῦν τοῦτο τὸν τοιοῦτον ὡς ἔοικε λέγει σμωνίδης, ἃ τὰ ὀφειλόμενα δίκαιον εἶναι ἀποδιδόναι. ἄλλο μέν τοι τὶ ἦν ἐκεῖνο. τοῖς δὲ φίλοις ὅτι τὰ ὀφείλειν τοὺς φίλους, ἀγαθόν μέν τι φαίνεται, καὶ κάλλιον δὲ μᾶλλον. μανθάνω ὦδ᾽ ἐγώ· ὅτι ἃ τὰ ὀφειλόμενα ἀποδίδωσιν· ὡς αὖτῳ χρυσίον ἀποδῷ παρακατατεθειμένῳ, ἐάν πὴ ἡ ἀπόδοσις μὴ ἡ λῆψις βλαβερὰ γίνηται· φίλοι δὲ ὧδ᾽ ὅ, τε ἀποδιδούς καὶ ὁ ἀποδιδούς· οὐχ οὕτω λέγειν φὴς ἦν σμωνίδην; Ναί μὲν οὖν. τὶ δὲ τοῖς ἐχθροῖς ἀποδοτέον ὅ, τι αὖ τύχοι ὀφειλόμενον. Παντάπασι μὲν οὖν ἔφη, ὅ, γε ὀφείλεται αὖ τοῖς. ὀφείλεται δὲ δίμοι παρά γε τὸν ἐχθρὸν τῷ ἐχθρῷ, ὅπερ καὶ πρόσηκεν, καὶ κακόν τι. ἠνίξατο ἄρα ἦν δ᾽ ἐγὼ ὡς ἔοικεν ὁ σμωνίδης ποιητικῶς ἃ δίκαιον ὁ ἔην· δικαιοῖ τοι μὲν γοῦν ὃ τι φαίνεται, ὅτι τοῦτ᾽ ἔην δίκαιον, ἃ προσήκοντι ἑκάστῳ ἀποδίδωσι· ἐχθροῖ δὲ ὠφελίμοντι ὀφειλόμενον. ἀλλὰ τὶ οἴει ἔφη. Ῥᾳδίως ἦν δ᾽ ἐγώ· εἴ τις αὐτὸν ἔροιτο· ὦ σμωνίδη, ἃ τίσιν οἷοί τε ἀποδιδοῦσα ὀφειλόμενον καὶ προσῆκον τύχῃ, ἃ τοιαῦτα ἐστὶ καὶ καλοῦνται· Η δὲ τίσι τὰ ἀποδιδοῦσα ὀφειλόμενον καὶ προσῆκον τύχῃ, μαγειρικὴ καλοῦνται. Η τοῖς ὀψοις τὰ ἡδύσματα. Εἶεν. Η οἷσι δὲ τίσι τὰ ἀποδιδοῦσα τύχῃ, δικαιοσύνη καὶ καλοῦτο. Εἰ μέν τι ἔφη λέγει ἀνηλουθεῖν ὦ σώκρατες τοῖς ἐμπροσθεν εἰρημένοις, ἢ τοῖς φίλοις τε καὶ ἐχθροῖς, ὠφελίας τε καὶ βλάβας ἀποδιδοῦσα· Τὸ τοὺς φίλους ἀρα ὦ ποιεῖν καὶ τοὺς ἐχθροὺς καὶ κακῶς, δικαιοσύνην λέγῃ; δοκεῖ μοι. Τίς ἂν σμωνίδην ἐρωτῶντας, ἡμᾶς τοὺς φίλους, ὦ φιεῖν· καὶ ἐχθροὺς καὶ κακῶς πρὸς νόσον καὶ ὑγίειαν. Ἰατρός. Τίς δὲ πλέοντας, πρὸς ἢν τῆς θαλάττης πλώσιμον.

κυβερνήτης. Τί δὲ ὁ δίκαιος· εἰ τίνι πράξει καὶ πρὸς τί ὄντι, δοκεῖ τὸν φίλους ὠφελεῖν, καὶ ἐχθροὺς βλάπτειν· οὐ τῷ πρὸς πολεμεῖν, καὶ ξυμμαχεῖν ἐμοιγε δοκεῖ. Εἶεν. Μὴ κάμνουσί γε μὴν ὦ φίλε πολέμαρχε, ἰατροὶ ἄχρηστοι· ἀληθῆ. Καὶ μὴ πλέουσι δὴ κυβερνήτης; Ναί. Αρ' οὖν καὶ δίκαιος μὴ πολεμοῦσιν ὁ δίκαιος ἄχρηστος; Οὐ πάνυ μοι δοκεῖ ἔγωγε. Χρήσιμον ἄρα καὶ οὐ εἰρήνη δικαιοσύνη. Χρήσιμον· μὴ ἀγωγήν, ἦ οὔ. Ναί. Γρόσγε καρπῶν κτῆσιν; Ναί. Καὶ μὴν καὶ σκυτοτομική; Ναί. Γρόσγε ὑποδημάτων αὖ δῆμαι φαίης κτῆσιν; Γαύγε. Τί δὲ λύρᾳ δικαιοσύνη. πρὸς τίνος χρείαν ἡ κτῆσιν, οὐ εἰρήνη φαίης αὖ χρήσιμον εἶναι. Γρὸς τὰ ξυμβόλαια ὦ σώκρατες· ξυμβόλαια δὲ λέγεις ποινωνήματα, ἢ τί ἄλλο. Κοινωνήματα δῆτα. Ἆρ' οὖν ὁ δίκαιος ἀγαθὸς καὶ χρήσιμος κοινωνὸς εἰς πηλῶν θέσιν, ἢ ὁ πηλῶν τικός· ὁ πηλῶν τικός. Ἀλλ' εἰς πλίνθων καὶ λίθων θέσιν, ὁ δίκαιος χρησιμώτερός τε καὶ ἀμείνων κοινωνὸς τῆ οἰκοδομικῆ; οὐδαμῶς. Ἀλλ' εἰς τίνα δὴ κοινωνίαν, ὁ δίκαιος ἀμείνων κοινωνὸς, τῆ κιθαριστικῆ· ὥσπερ ὁ κιθαριστικὸς τῆ δικαίου, εἰς κρουμάτων. Εἰς ἀργυρίου ἔμοιγε δοκεῖ. Γλιὼ γ' ἴσως ὦ πολέμαρχε πρὸς τὸ χρῆσθαι ἀργυρίῳ. ὅταν δέη ἀργυρίου κοινῇ πρίασθαι ἢ ἀποδόσθαι ἴσως, τότε δὴ ὡς ἐπὶ τῷ δίκαιος ὁ ἰατρικός. Ἦ γάρ; Φαίνεται. Καὶ μὴν ὅταν γε πλοῖον, ὁ ναυπηγὸς ἢ ὁ κυβερνήτης. Ἔοικεν. Ὅταν οὖν δέη ἀργυρίῳ ἢ χρυσῷ κοινῇ χρῆσθαι, ὁ δίκαιος χρησιμώτερος τῶν ἄλλων. Ὅταν παρακατατίθεσθαι καὶ σῶν εἶναι ὦ σώκρατες. οὐκοῦν λέγεις, ὅταν μηδὲν δέῃ αὐτῷ χρῆσθαι, ἀλλὰ κεῖσθαι; Γαύγε. Ὅταν ἄρα ἄχρηστον ᾖ ἀργύριον τότε χρήσιμος ἐπ' αὐτῷ ὁ δικαιοσύνη. Κινδυνεύει. Καὶ ὅταν λίθοι πανοπλίαν δέῃ φυλάττειν, ὁ δικαιοσύνη χρήσιμος, καὶ κοινῇ καὶ ἰδίᾳ. Ὅταν δὲ χρῆσθαι, ἀμπελουργικόν. Φαίνεται. Φύσεις δὲ καὶ κτᾶσθαι καὶ λύειν. Ὅταν δέῃ φυλάττειν καὶ μηδὲν χρῆσθαι, χρήσιμον εἶναι πρὸ δικαιοσύνην, ὅταν δὲ χρῆσθαι, πρὸ ὁπλιτικὴν καὶ πρὸ μουσικήν; αὐάσκη. Καὶ τοίνυν τἆλλα δὴ πάντα, ἃ δικαιοσύνη ἐκείνου, οὐ μὲν χρήσει, ἄχρηστον· τὸ δὲ ἀχρησίᾳ, χρήσιμον. Κινδυνεύει. Οὐκοῦν ὦ φίλε, πάνυγέ τι ἀσυνδαίτον εἴη ἡ δικαιοσύνη εἰ πρὸς τὰ ἄχρηστα χρήσιμον ἂν τυγχάνει. Τοῦτ' ἄρ' ἐσκεψάμεθα. Ἆρ' οὐχ ὁ παταξαι λεπότατος ἐν μάχῃ. ἔστε πυκτικῇ ἔστε τινι ἄλλῃ, οὗτος καὶ φυλάξασθαι; Γαύγε. Ἆρ' οὖν καὶ νόσου ὅστις λεπὸς φυλάξασθαι καὶ λαθεῖν. οὗτος λῃστὴς καὶ ἐμποιῆσαι; ἔμοιγε δοκεῖ. Ἀλλὰ μὴν στρατόπεδόν γε, ὁ αὐτὸς φύλαξ ἀγαθὸς, ὥσπερ καὶ τὰ τῶν πολεμίων κλέψαι καὶ βουλεύματα καὶ τἆλλα πράξεις. Γαύγε. Ὅταν τίς ἀρα λεπὸς φύλαξ, τοῦτον καὶ φῶρ λεπός. Ἔοικεν. Εἰ ἄρα ὁ δίκαιος ἀργύριον λεπὸς φυλάττειν, καὶ κλέπτειν λῃστής, ὡς γοῦν ὁ λόγος ἔοικε σημαίνει. κλέπτης ἄρα τις ὁ δίκαιος ὡς ἔοικεν ἀνεπίφατον. Καὶ κινδυνεύει παρ' ὁμήρου μεμαθηκέναι αὐτό· καὶ τὸν Ἐκεῖνος μὲν οὖν ἀσυνάτως πρὸς μητρὸς πατέρα αὐτόλυκον, ἀγαπᾷ τε, καὶ φησὶν αὐτὸν ὑπὲρ πάντας ἀνθρώπους κεκλῆσθαι κλεπτοσύνῃ θ' ὅρκῳ τε· ἔοικεν οὖν ἡ δικαιοσύνη, καὶ κατὰ σὲ καὶ κατὰ Ὅμηρον καὶ κατὰ σιμωνίδην, κλεπτική τις ἕξις. Ἐπ' ὠφελίᾳ μέν γε τῶν φίλων, καὶ δὴ βλάβῃ γε τῶν ἐχθρῶν, ἦ γὰρ οὐ λέγεις; οὐ μὰ τὸν Δί' ἔφη· ἀλλ' οὐκέτ' οἶδα ἔγωγε ὅ, τι ἔλεγον. ἔστω μέν τοι ἔμοιγε δοκεῖ ἔτι· ὠφελεῖν μὲν τοὺς φίλους ἡ δικαιοσύνη, βλάπτειν δὲ τοὺς ἐχθρούς. Φίλους δὲ λέγεις, ἦ· πότερον τοὺς δοκοῦντας ἐπιεικεῖς χρηστοὺς εἶναι, ἢ τοὺς ὄντας καὶ μὴ δοκοῦσι, τὴ ἐχθροὺς ὡσαύτως. ἐοικὸς μὲν ἔφη, οὓς ἄν τις ἡγῆται χρηστοὺς, φιλεῖν· οὓς δ' αὖ πονηροὺς, μισεῖν. Ἆρ' οὖν οὐχ ἁμαρτάνουσι οἱ πολλοὶ περὶ ταῦτα· ὥστε δοκεῖν αὐτοῖς πολλοὺς μὲν χρηστοὺς εἶναι μὴ ὄντας, πολλοὺς δὲ τοὐναντίον. ἁμαρτάνουσι. Τούτοις ἄρα, οἱ μὴ ἀγαθοὶ ἐχθροί· οἱ δὲ ἀγαθοὶ, φίλοι. Γαύγε. Ἀλλ' ἔμοιγε δίκαιον τε τοῖς τοιούτοις, τοὺς μὴ πονηροὺς ὠφελεῖν· τοὺς δ' ἀγαθοὺς, βλάπτειν. φαίνεται. Ἀλλὰ μὴν οἵγε ἀγαθοὶ, δίκαιοί τε καὶ οἷοι μὴ ἀδικεῖν. ἀληθῆ. Κατὰ δὴ τὸν λόγον τὸν μὴ δίκαιον ἀδικοῦντας, δίκαιον καὶ ὧς ποιεῖν. μηδαμῶς ἔφη ὦ σώκρατες· φανερὸς δ' ἔοικεν ἦ ὁ λόγος· τὸν ἀδίκως ἄρα δεῖ δίκαιον βλάπτειν· τὸν δὲ δικαίως ὠφελεῖν. οὗτος

ἐκείνου

ἐκάνε καλλίων φαίνητ᾽. Πολλοῖς ἄρα ὦ πολέμαρχε συμβαίνει. ὅσοι ἁμαρτάνουσι περὶ αὐτῶν, δίκαιον ἦ, τοὺς μὲν φίλους βλάπτειν· πονηροὶ γὰρ αὐτοί εἰσι· τοὺς δ᾽ ἐχθροὺς ὠφελεῖν. ἀγαθοὶ γοῦν ἡμῖν οὕτω δόξομεν, αὐτῷ τοιαύτῃ ἦν σιμωνίδην ἔφαμεν λέγειν. καὶ μάλα ἔφη οὕτω συμβαίνει, ἀλλὰ μετὰ ταῦτα θώμεθα. κινδυνεύομεν γάρ, οὐκ ὀρθῶς ἦν φίλον καὶ ἐχθρὸν εἴρηται. Πῶς θέμενοι ὦ πολέμαρχε. Τὸν δοκοῦντα χρηστὸν, τοῦτον φίλον εἶναι. Νεῦε δὴ πῶς λῷ δ᾽ ἐτὸ μετὰ ταῦτα θώμεθα· Τὸν δοκοῦντα τέ τε ἅ δ᾽ ὅσ᾽ καὶ ἦν ὄντα χρηστὸν, φίλον· ἦν δὲ δοκοῦντα μὲν ὄντα δὲ μὴ, δοκεῖν ἀλλὰ μὴ εἶναι φίλον, καὶ τοῦδε τῷ ἐχθροῦ δὲ, ἡ αὐτὴ θέσις. Φίλος μὲν δὴ ὡς ἔοικε τούτῳ τῷ λόγῳ, ὁ ἀγαθὸς ἔσται. ἐχθρὸς δὲ, ὁ πονηρός; Ναὶ. κελεύεις δὴ ἡμᾶς προσθεῖναι τῷ δικαίῳ, ἢ ὡς τὸ πρῶτον ἐλέγομεν, λέγοντες δίκαιον εἶναι· ἦν μὲν φίλον δεῖ ποιεῖν ἦν δὲ ἐχθρὸν κακῶς, καὶ τοῦτο τούτῳ, ὦδε λέγειν· ὅτι ἔστι δίκαιον, ἦν μὲν φίλον ἀγαθὸν ὄντα, δεῖ ποιεῖν. ἦν δ᾽ ἐχθρὸν κακὸν ὄντα, βλάπτειν; Παύ μοι δοκεῖ ἔφη οὕτως αὖ μοι δοκεῖ κομψῶς λέγεσθαι. ἔστιν ἄρα ὦ δ᾽ ἐτὸ, δικαίου ἀνδρὸς βλάπτειν καὶ ἐντεινεῖ ἀνθρώπων; καὶ πάνυ γε ἔφη δούγε πονηρούς τε καὶ ἐχθροὺς δῆ βλάπτειν.

Βλαπτόμενοι δ᾽ ἵππου, βελτίους ἢ χείρους γίνονται. χείρους· ἆρα εἰς τὴν τῶν κυνῶν ἀρετὴν ἢ εἰς τὴν τῶν ἵππων. εἰς τὴν τῶν ἵππων· ἄρ᾽ οὖν καὶ κυνὸς βλαπτόμενοι, χείρους γίγνονται εἰς τὴν τῶν κυνῶν, ἀλλ᾽ οὐκ εἰς τὴν τῶν ἵππων ἀρετήν. ἀνάγκη· ἀνθρώπους δὲ ὦ ἑταῖρε μὴ οὕτω φῶμεν, βλαπτομένους, εἰς τὴν ἀνθρωπείαν ἀρετὴν χείρους γίγνεσθαι; Παύ μοι οὖν, ἀλλ᾽ ἡ δικαιοσύνη οὐκ ἀνθρωπεία ἀρετή; καὶ τοῦτ᾽ ἀνάγκη. καὶ τοὺς βλαπτομένους ἄρα ὦ φίλε τῶν ἀνθρώπων, ἀνάγκη ἀδικωτέρους γίνεσθαι· ἔοικεν. ἆρ᾽ οὖν τῇ μουσικῇ οἱ μουσικοὶ, ἀμούσους ποιοῦσι φιεῖν. ἀλλὰ κακόν. ἀλλὰ τῇ ἱππικῇ οἱ ἱππικοὶ ἀφίππους; Οὐκ ἔστιν. ἀλλὰ τῇ δικαιοσύνῃ δὴ οἱ δίκαιοι ἀδίκους; ἢ καὶ ξυλλήβδην αὖ τῇ ἀγαθοὶ κακούς; ἀλλὰ ἀδύνατον. Οὐ γὰρ θερμότητος δίμοι δρῦσι, ψύχειν· ἀλλὰ τοῦ ἐναντίου. Ναί· Οὐδὲ ξηρότητος, ὑγραίνειν, ἀλλὰ τοῦ ἐναντίου. Φαίνεται. ὁ δέ γε δίκαιος ἀγαθός; Παύγε· οὐκ ἄρα τοῦ δικαίου δρῶν βλάπτειν ὦ πολέμαρχε, οὔτε φίλον οὔτ᾽ ἄλλον οὐδένα, ἀλλὰ τοῦ ἐναντίου, τοῦ ἀδίκου. Παντάπασί μοι δοκεῖς ἀληθῆ λέγειν ἔφη ὦ σώκρατες. Εἰ ἄρα τὰ ὀφειλόμενα ἐκάστῳ ἀποδιδόναι φησί τις δίκαιον εἶναι, ἔστιν δὲ ὃ νοεῖ αὐτῷ, τοῖς μὲν ἐχθροῖς βλάβας ὀφείλεσθαι παρὰ τοῦ δικαίου ἀνδρὸς, τοῖς δὲ φίλοις ὠφέλειαν· οὐκ ἐτὸς ὁ ἔστιν εἰπὼν οὐ γὰρ ἀληθῆ ἔλεγεν. οὐδαμοῦ γὰρ δίκαιον οὐδὲ κατὰ μῦν ἐφάνη τὸ βλάπτειν. Συγχωρῶ δῆτ᾽ ἔς. μαχώμεθα ἄρα ἐτὸ, κοινῇ ἑταῖρέ τε καὶ σύ· ἐάν τις αὐτὸ φῇ, ἢ σιμωνίδην, ἢ βίαντα, ἢ πιττακὸν εἰρηκέναι, ἢ τιν᾽ ἄλλον τῶν σοφῶν τε καὶ μακαρίων ἀνδρῶν. ἕτοιμός εἰμι κοινωνεῖν τῆς μάχης. ἀλλ᾽ ἐθάτα ἐτὸ, οὐ μοι δοκεῖ εἶναι τὸ ῥῆμα, τὸ φάναι δίκαιον εἶναι τοὺς μὲν φίλους ὠφελεῖν, τοὺς δ᾽ ἐχθροὺς βλάπτειν; Τίνος ἔφη. δίμοι αὖ τοῦδε ἀνδρὸς εἶναι ἢ πυρρίκηυ. ἢ ξίφεος. ἢ ἱσμηνίου τοῦ θηβαίου. ἢ τινος ἄλλου, μάχαιρᾶς δύνασθαι, πλουσίου ἀνδρός. ἀληθέστατα ἔφη λέγεις. Εἶεν δὴ δ᾽ ἐτὸ, ἐπειδὴ δὲ οὐδὲ τοῦτο ἐφάνη ἡ δικαιοσύνη ὄν, οὐδὲ τὸ δίκαιον, τί ἄν ἄλλο τις αὖ φαίη εἶναι, καὶ ὁ θρασύμαχος, πολλάκις μὲν καὶ διαλιγομένων ἡμῶν, μετὰ ξυθώρακα αὖτὸ λαμβάνοιτο τοῦ λόγου. ἐπεὶ τὰ ὦ τῶν παρεληλυθότων διαπωλύειν βουλομένου διακωλύσαι τὸν λόγον. ὡς δὲ διεπαυσάμεθα καὶ ἐτὸ ταῦτ᾽ εἶπεν, οὐκέτι ἠνυχάνει ἔγειν· ἀλλὰ συσχίσας ἐαυτὸν ὥσπερ θηρίον, ἔκεινεν ἐφ᾽ ἡμᾶς ὡς διαρπασόμενος· καὶ ἐτό τε καὶ ὁ πολέμαρχος δείσαντες, διεπλήθημεν. ἔλ᾽ εἰς τὸ μέσον φθεγξάμενος, τίς ἔφη ὑμᾶς πάλαι φλυαρίας ἔχει ὦ σώκρατες· καὶ τί δὴ καὶ ἑίζεσθε πρὸς ἀλλήλους· ὑποκατακλινόμενοι ὑμεῖν αὐτοῖς. ἀλλ᾽ εἴπερ ὡς ἀληθῶς βούλει ἀλοῦναι τὸ δίκαιον ὅ, τι ἔστι, μὴ μόνον ἐρώτα· μὴ δὲ φιλοτιμοῦ ἐλέγχων, ἐπειδή τις τῶν ἀποκρίνεται· ἐγωγε κακῶς ἔσχον, ὅτι τὸ ῥᾴστον ἐρωτᾶν ἢ ἀποκρίνασθαι, ἀλλὰ τῇ αὐτὸς ἀπόκριναι· τῇ εἰπέ· τί φῂς εἶναι τὸ δίκαιον.

καὶ ὅπως μοι μὴ ὄψῃ ὅτι τὸ δίον δεῖ. μὴ δ' ὅτι τὸ ἀφέλιμον. μὴ δ' ὅτι τὸ λυσιτελοῦν. μὴ δ' ὅτι τὸ κερδαλέον. μὴ δ' ὅτι τὸ συμφέρον. ἀλλὰ σαφῶς μοι καὶ ἀκριβῶς λέγε ὅ τι αὖ λέγῃς. ὡς ἐγὼ οὐκ ἀποδέξομαι ἐὰν ὕθλους τοιούτους λέγῃς, καὶ ἐγὼ ἀκούσας, ὕβριν ἔλαγον, καὶ προσβλέπων αὐτὸν, ἐφοβούμην. καί μοι δοκῶ· εἰ μὴ πρότερος ἐωρακὼς αὐτὸν ἦν ἐκεῖνος ἐμὲ, ἄφωνος ἂν γενέσθαι. νυνὶ δὲ ἰδὼν ὑπὸ τοῦ λόγου ἤρχετο ὕβρις ἀναπιμπλάσθαι, προσβλέψας αὐτὸν πρότερος ὥστε αὐτῷ οἷός τ' ἐγενόμην ἀποκεκλῆσθαι, καὶ εἰπὸν ὑποφρίμων· ὦ θρασύμαχε· μὴ χαλεπὸς ἡμῖν ἴσθι. εἰ γὰρ ὕβριμαρ τάνομεν οὐ τῇ τῶν λόγων σκέψει ἐγώ τε καὶ σὺ, δῆλον ἴσθι ὅτι ἅπαντες ἁμαρτάνομεν. μὴ γὰρ δὴ οἴου, ἐμοὶ, χρυσίον ἐζητοῦμεν, οὐκ ἄν ποτε ἡμᾶς ἐκόντας εἶναι ὑποκατακλίνεσθαι ἀλλήλοις οὐ τῇ ζητήσει καὶ διαφθείρειν πᾶν ὅ,τιοῦν αὐτὸ· δικαιοσύνην δὲ ζητοῦντες πρᾶγμα πολλῶν χρυσίων τιμιώτερον, ἴσμεν οὕτως ἀσκόπως ὑπείκειν ἀλλήλοις. καὶ οὐ πάνυ ὑποζήλευν ὅτι μάλιστα φανεῖσθαι αὐτὸ οἷόν γε ἔστιν ὦ φίλε, ἀλλ' οἶμαι ἀδυνάμενα. ἐλεεῖσθαι οὖν ἡμᾶς πολὺ μᾶλλον εἰκός ἐστιν ὑμῶν τῶν δεινῶν ἐχαλεπαίνεσθαι, καὶ ὃς ἀηδέστατος, αἰσχύνης τε μάλα σαρδόνιον, κἀξέπιν. ὦ Ἡράκλεις ἔφη. αὕτη ἐκείνη ἡ εἰωθυῖα εἰρωνεία σωκράτους. καὶ ταῦτ' ἐγὼ ἔλεγον τε καὶ ἐδεδίειν πρὸ τοῦ λέγειν. ὅτι σὺ ἀποκρίνεσθαι μὲν οὐκ ἐθελήσεις. εἰρωνεύσεσθαι δὲ καὶ πάντα μᾶλλον τοῦ ἀποκρίνεσθαι ἢ ἀποκρίνειο, ἐάντίς τι σὲ ἔρωτᾷ. Σοφὸς γὰρ εἶ ὦ θρασύμαχε. οὐ δὲ ἔμαθες, ὅτι εἴ τινα ἔροιο ὁπόσα ὄντα τὰ δώδεκα, καὶ ἔρόμενος προεἴποις αὐτῷ. ὅπως μοι ὦ ἄνθρωπε μὴ ἔρᾷς ὅτι ἔστι τὰ δώδεκα ἀλλ' εἰπέ. μὴ δ' ὅτι τρὶς τέτταρα. μὴ δ' ὅτι ἑξάκις δύο. μὴ δ' ὅτι τετράκις τρία. ὡς οὐκ ἀποδέξομαί σου ἐὰν τοιαῦτα φλυαρῇς, δῆλον οἶμαί σοι ἔσεσθαι, ὅτι οὐδεὶς ἀποκρινοῖτο τῷ οὕτω πυθανομένῳ. ἀλλ' ἔστιν εἰπεῖν, ὦ θρασύμαχε. πῶς λέγεις μὴ ἀποκρίνωμαι ὧν προεῖπες μοι. πότερον ὦ θαυμάσιε. μὴ δὲ ἀ τούτων τυγχάνει ὄν. ἀλλ' ἕτερον εἶπον τί τῶν ἀληθῶν, ἢ πῶς λέγεις, τί ἂν αὐτῷ εἶπες πρὸς ταῦτα. Σωκ. ἔφη. ὡς δὲ ὅμοιον τοῦτο τοῖς ἐκείνῳ. οὐδέν γε κωλύει ἔμοιγ' ἐγώ. εἶεν οὖν καὶ μὴ ἔστιν ὅμοιον, φαίνεταί σοι τῷ ἐρωτηθέντι διοιστέον, ἢ πάντα τὰ τοιαῦτα, ἢ ἅπερ τι αὖ ἔοικε ἀποκρινεῖσθαι τὸ φαινόμενον ἑαυτῷ. ἐάν τε ἡμεῖς ἀπαγορεύωμεν, ἐάν τε μή; ἄλλοτι οὖν ἔφη καὶ σὺ οὕτω ποιήσεις. ὧν ἐγὼ ἀπεῖπον· τούτων τί ἀποκρινῇ; οὐκ ἄν θαυμάσαιμι ἔμοιγε ἐγώ. ἐὰν μὴ σκληραίνῃ οὕτω δόξεις. τί οὖν ἔφη ἂν ἐγὼ λείξω ἑτέρᾳ ἀποκρίσει παρακαλέσας ταύτας τὰς δικαιοσύνης βελτίω τούτων, τί ἀξιοῖς παθεῖν. τί ἄλλο ἔμοιγ' ἐγώ, ἢ ὅπερ προσήκει πάσχειν ᾧ μὴ εἰδότι. προσήκει δέ που μαθεῖν παρὰ τοῦ εἰδότος. καὶ ἐγὼ οὖν ἔστιν ἃ ἐξιῶ παθεῖν. ἀδὺς γὰρ εἶ ἔφη. ἀλλὰ πρὸς ᾧ μαθεῖν, καὶ ἀπὸ ποσοῦ ἀργύριον. Οὐκοῦν ἔπειδή μοι γίνηται εἶπον, ἀλλ' ἔστιν ἔφη ὁ Γλαύκων. ἀλλ' οὐκοῦν ἀργύριόν ὦ θρασύμαχε, λέγε. πάντες γὰρ ἡμεῖς σωκράτει εἰσόμεθα. Γαύγε οἶμαι ἔφη. ἵνα σωκράτης δ' εἰωθὼς διαπράξηται. αὐτὸς μὲν μὴ ἀποκρίνηται. ἄλλου δ' ἀποκρινομένου λαμβάνῃ λόγον καὶ ἐλέγχῃ. Γῶσ γὰρ οὐκ ἔφη ἐγὼ ᾧ βέλτιστέ τις ἀποκρίναιτο. πρῶτον μὲν μεγάλου μὲν δεῖται ἐπισταμένου εἶναι. ἔπειτα εἴπερ καὶ εἴη τοιοῦτος τοῦδε τούτων, ἀπειρημένον αὐτῷ εἶναι. ὅπως μηδὲν ἐρεῖ ὧν ἐπίσταται, ὑπ' αἰσχρὸς οὐ φαύλου. ἀλλὰ σὲ δὴ μᾶλλον εἰκὸς λέγειν. σὺ γὰρ δὴ φῂς εἰδέναι καὶ ἔχειν ἀπεῖν. μὴ οὖν ἄλλως ποιεῖ. ἀλλ' ἐμοιγε χαρίζῃ ἀποκρινόμενος. καὶ μὴ φθονήσῃς, καὶ γλαύκωνα τόνδε διδάξαι καὶ τοὺς ἄλλους. Εἰ πόντος δέ μου ταῦτα, ὅ,τε γλαύκων ἦ οἱ ἄλλοι ἐδέοντο αὐτοῦ μὴ ἄλλως ποιεῖν. καὶ ὁ θρασύμαχος, φανερὸς μὲν ἦν ἐπιθυμῶν ἀπεῖν, ἵν' ἀδοκιμάσειεν. ἡγούμενος ἔχειν ἀπόκρισιν παγκάλην. προσποιεῖτο δὲ φιλονεικεῖν. πρὸς τὸ ἐμὲ ἓν ἀποκρινόμενον τιλβωπὸν δὲ σωκχώρησε. καὶ εἶπεν, αὖτη δὴ ἔφη ἡ σωκράτους σοφία. αὐτὸν μὲν μὴ ἐθέλειν διδάσκειν. παρὰ δὲ τῶν ἄλλων ἰόντα μανθάνειν, καὶ τούτων μὲν δὴ χάριν ἀποδιδόναι. ὅτι μὲν ἐγὼ μανθάνω παρὰ τῶν ἄλλων, ἀληθῆ εἶπες ὦ θρασύμαχε. ὅτι δὲ οὔμι φῂς χάριν ἐκτίνειν, ψεύδῃ ἐκτίνω γάρ, ὅταν δύνωμαι. δύναμαι δὲ ἐὰν πένητα μόνον. χρήματα γὰρ οὐκ ἔχω, ὡς δὲ προθύμως τοῦτο ὁρῶ, ἐάν τίς μοι δοκῇ εὖ λέγειν, εὖ ἴσθι

αὐτίκα

αὐτῷ. δῆλα, ἔπεσθαι ἀποκείνῃ. δῆλα γοῦν σε οὐ δρᾷν, ἄκουε δὴ βλίττος φημὶ γὰρ ἐγὼ εἶναι τὸ δίκαιον οὐκ ἄλλο τι, ἢ τὸ τοῦ κρείττονος ξυμφέρον. ἀλλὰ τί οὐκ ἐπαινεῖς; ἐὰν μάθω γε πρῶτον ἔφλω τί λέγεις. ναὶ γοῦν οὕτω οἶδα. τὸ τοῦ κρείττονος φῂς ξυμφέρον δίκαιον εἶναι. καὶ σύνυ δὴ θρασύμαχε τί ποτε λέγεις. οὐ γοῦν που τόγε τοιοῦτόν φῂς. εἰ πολυστέμφως ἡμῶν κρείττων ὁ παγκρατιαστὴς, καὶ αὐτῷ ξυμφέρει τὰ βόεια κρέα πρὸς τὸ σῶμα, σύνυ τὸ αὐτὸν εἶναι, καὶ ἡμῖν τοῖς ἥττοσιν ἐκείνου ξυμφέρον ἅμα καὶ δίκαιον. Εβλιτυρὸς γοῦν εἶφη ὦ σώκρατες. καὶ ταύτη ὑπολαμβάνεις, ἢ οὐ κακουργήσεις μάλιστά γε λόγου. Οὐδαμῶς ὦ ἄριστε δῆτα. Δλλὰ σαφέστερον ἐπὶ τὸ λέγεις. ἔτ' οὐκ οἶδα εἶφη, ὅτι τῶν πόλεων αἱ μὲν, τυραννοῦνται. αἱ δὲ, δημοκρατοῦνται. αἱ δὲ, ἀριστοκρατοῦνται. Γῶς γοῦν οὔ, οὐκοῦν ἔστιν κρατεῖ οὐκ ἐκάστη πόλει ἡ ἀρχή; Γαύγε. Τίθεται δέγε τοὺς νόμους ἑκάστη ἡ ἀρχὴ πρὸς τὸ αὐτῇ ξυμφέρον. δημοκρατία μὲν, δημοκρατικούς, τυραννὶς δὲ, τυραννικούς. καὶ ἄλλας οὕτω. Θέμενοι δὲ, ἀπέφηναν τοῦτο δίκαιον τοῖς ἀρχομένοις εἶναι, τὸ σφίσι ξυμφέρον. καὶ τὸν τοῦτο ἐκβαίνοντα κολάζουσιν, ὡς παρανομοῦντά τε καὶ ἀδικοῦντα; τοῦτ' οἶν ἔστιν ὦ βέλτιστε ὃ λέγω οὐ ἀπάσας ταῖς πολεσι. ταυτὸν δὴ εἶναι δίκαιον, τὸ τῆς κρατούσης ἀρχῆς ξυμφέρον. αὐτὸ δέ που κρατεῖ. ὥστε ξυμβαίνει τῷ ὀρθῶς λογιζομένῳ, πάντα χοῦ εἶναι τὸ αὐτὸ δίκαιον, τὸ τοῦ κρείττονος συμφέρον. Καὶ μὰ δῆτ' ἔγωγ' ἔφην ὃ λέγεις. εἰ δὲ ἀληθὲς ἡμῖν, πειράσομαι μαθεῖν. τὸ ξυμφέρον μὲν οὖν ὦ θρασύμαχε καὶ σὺ ἀποκρίνω δίκαιον εἶναι. καίτοι ἔμοιγε ἀπηγόρθωτ'. ὅπως μὴ τοῦτο ἀποκρινοῦμαι. πρόσεστι δὲ δὴ καὶ τοῦτο τὸ τοῦ κρείττονος. σμικρόν γε ἴσως ἔφη προσθήκη. Οὔπω δῆλον οὐδὲ μεγάλη. ἀλλ' ὅτι μὲν τοῦτο σκοπεῖν εἰ ἀληθῆ λέγεις, δῆλον. ἐπεὶ καὶ γοῦν ξυμφέρον γέ τι εἶναι. καὶ ἐγὼ ὁμολογῶ τὸ δίκαιον. σὺ δὲ προστίθης, καὶ αὐτὸ φῂς εἶναι τὸ τοῦ κρείττονος, ἐγὼ δὲ ἀγνοῶ, σκεπτέον δή. Σκόπει ἔφη. ταῦτ' ἔστι δὴ δ' ἐγώ. καί μοι ἀπόκρινε. οὐκοῦν πείθεσθαί μέν τοι τοῖς ἄρχουσι φῂς δίκαιον εἶναι; ἔστω γε. Πότερον δὲ καὶ μάρτυρα τιτοίεσον οἱ ἄρχοντες οὐ τοῖς πόλεσιν ἁμαρτάνειν, ἢ δοί τε καὶ ἁμαρτεῖν. Γαύτως φησθ ἔφη. οὐκοῦν ἐπιχειροῦσιν νόμους τιθέναι, τοὺς μὲν ὀρθῶς τιθέασι. τοὺς δέ τινας, οὐκ ὀρθῶς. δίκαιον ἔστω γε. Τὸ δὲ ὀρθῶς ἄρα, τὸ τὰ ξυμφέροντά ἑαυτοῖς τίθεσθαι ἑαυτοῖς. τὸ δὲ μὴ ὀρθῶς, ἀξύμφορα. ἢ πῶς λέγεις. οὕτως. ἆρ' αὖ θῶνται, ποιητέον τοῖς ἀρχομένοις, καὶ τοῦτό ἐστι τὸ δίκαιον; πῶς γοῦν οὔ. Μόνον ἄρα δίκαιόν ἐστι κατὰ τὸν λόγον, τὸ τοῦ κρείττονος συμφέρον ποιεῖν, ἀλλὰ καὶ τοὐναντίον τὸ μὴ ξυμφέρον. τί λέγεις ἔφη. ἃ σὺ λέγεις, ἔμοιγε δοκῶ, σκοπῶμεν δὴ βέλτιον, οὐχ ὁμολογῶμεν, τοὺς ἄρχοντας ἔνια τῶν ἀρχομένων προστάττοντας ποιεῖν ἄττα, οἷόν τε διαμαρτάνειν τοῦ ἑαυτοῖς βελτίστου; ἀλλ' αὖ προστάττωσιν οἱ ἄρχοντες δίκαιον εἶναι τοῖς ἀρχομένοις ποιεῖν; ταῦτ' οὐχ ὁμολόγηται; οἶμαι ἔγωγε ἔφη. εἶεν τοίνυν δὴ ἐγὼ, καὶ τὸ ἀξύμφορα ποιεῖν τοῖς ἄρχουσί τε καὶ κρείττοσι δίκαιον εἶναι ὁμολογεῖσθαί σοι, ὅταν οἱ μὲν ἄρχοντες κακῶς αὐτοῖς προστάττωσιν ἃ ἄγνοτες. τοῖς δὲ, δίκαιον εἶναι φῂς ταῦτα ποιεῖν, ἃ ἐκεῖνοι προσέταξαν, ἆρα τότε ὦ σοφώτατε θρασύμαχε, οὐκ ἀνάγκαιον ξυμβαίνειν αὐτὸ οὕτως, δίκαιον εἶναι ποιεῖν, τοὐναντίον ἢ ὃ σὺ λέγεις; τὸ δὲ τοῦ κρείττονος ἀξύμφορον δή που, προστάττεται τοῖς ἥττοσι ποιεῖν. Ναὶ μὰ δῖ' ἔφη ὦ σώκρατες ὁ πολίμαρχος, σαφέστατά γε. ἐὰν σύγ' ἔφη αὐτῷ μαρτυρήσῃς, ὁ κλεψφῶν ὑπολαβών. Καὶ τί φη δεῖται μαρτυρος. αὐτὸς γὰρ θρασύμαχος ὁμολογεῖ. τοὺς μὲν ἄρχοντας οἵοτε ἑαυτοῖς ἐνίοτε προστάττειν. τοῖς δὲ ἀρχομένοις, δίκαιον εἶναι ποιεῖν. τὸ δὲ τὰ κελευόμενα ποιεῖν ὦ πολίμαρχε, ἐνὸ τ' ἄρχοντ', δίκαιον εἶναι ἔθετο τὸ ὁ θρασύμαχος, καὶ τὸ τοῦ κρείττονος ὦ κλεψφῶν συμφέρον δίκαιον εἶναι ἔθετο. ταῦτα δὲ ἀμφότερα θέμενος, ὡμολόγησεν αὖ, οἷόν τε τὸν κρείττω τὰ αὐτοῖς ἀξύμφορα κελεύειν. δὴ ἔπεσθε τὸ καὶ ἀρχομένοις ποιεῖν. καὶ ἐγὼ τοῦτ' ὁμολογῶ, δεῖν μᾶλλον τὸ τ' κρείττονος ξυμφέρον δίκαιον εἶναι, ἢ τὸ μὴ ξυμφέρον. ἀλλ' ἔφη ὁ κλεψφῶν, τὸ τ' κρείττονος

ξυμφόρου ἔλιγεν, ὃ ἡγεῖτο ὁ κρείττων αὐτῷ ξυμφέρειν, ταῦτα ποιητέον ἢ τῷ ἥττονι· καὶ δίκαιον ταῦτα ἐτίθη. Ἀλλ' οὐχ οὕτως ἦν· ὁ πολέμαρχος ἔλεγεν. οὐδὲν ἄρα ἐγὼ δίκαιον ἔθηκα πολέμαρχε διαφθείρων. ἀλλ' εἰ νῷν οὕτω λέγει θρασύμαχος, οὕτως αὖ τὰ ἀποδεχώμεθα· καί μοι εἰπὲ ὦ θρασύμαχε. νῦν δὴ ὀρθῶς ἐβουλόμην λέγειν ἐγὼ δίκαιον· ἢ τῷ κρείττονος ξυμφέρον δοκῶ ἢ τῷ κρείττονι· καί τι ξυμφέρειν καί τι μή, οὕτω σε φῶμεν λέγειν; Ἥκιστά γ' ἔφη. ἀλλὰ κρείττω μὲν οἴει καλεῖν ἔγωγε τοὺς ἁμαρτάνοντας ὅταν ἁμαρτάνῃ; ἔτι γὰρ εἶπον ὡμολόγεις σε λέγειν, ὅτε τοὺς ἄρχοντας ὁμολογοῖμεν οὐκ ἀεὶ ἁμαρτήσεσθαι εἶναι· ἀλλά τι καὶ ἁμαρτάνειν. Συνεφαίνετο ἐπὶ τούτοις ὁ Θρασύμαχος· καὶ τοῖς λόγοις· ἐπεὶ αὐτήν γε δὴ ταύτην καλεῖς σὺ δὴ ἁμαρτάνοντας τοὺς τὰ νομίσματα κατ' αὐτὰ τάττειν ὁ ἁμαρτάνει. ἦ λογιστήν, ὃς αὖ ἐν λογισμῷ ἁμαρτάνῃ τότε, ὅταν ἁμαρτάνῃ καὶ τὰ παράπαν πῶς ἁμαρτάνει; ἀλλ' ὅμως λέγομεν τῷ ῥήματι οὕτως, ὅτι ὁ ἰατρὸς ἥμαρτε· καὶ ὁ λογιστὴς ἥμαρτε· καὶ ὁ γραμματιστής. ἐγὼ δ' οἶμαι ἕκαστον τούτων καθόσον τοιοῦτόν ἐστιν ὃ προσαγορεύομεν αὐτὸν, οὐδέποτε ἁμαρτάνει· ὥστε κατὰ τὸν ἀκριβῆ λόγον· ἐπεὶ δὴ καὶ σὺ ἀκριβολογῇ, οὐδεὶς τῶν δημιουργῶν ἁμαρτάνει· ἐπιλιπούσης γὰρ ἐπιστήμης, ὁ ἁμαρτάνων ἁμαρτάνει· οὐ ᾧ οὐκ ἔστι δημιουργός· ὥστε δημιουργὸς, ἦ σοφὸς, ἦ ἄρχων, οὐδεὶς ἁμαρτάνει τότε, ὅταν ἄρχων ᾖ. ἀλλὰ πᾶς γ' ἂν εἴποι, ὅτι ὁ ἰατρὸς ἥμαρτε, καὶ ὁ ἄρχων ἥμαρτε. τοιοῦτον οὖν δή σοι καὶ ἐμὲ ὑπόλαβε νῦν γε ἀποκεῖσθαι. ἐγὼ δὲ ἀκριβέστατον ἐκεῖνο τυγχάνει ὄν· τὸν ἄρχοντα καθόσον ἄρχων ἐστὶ μὴ ἁμαρτάνειν· μὰ ἁμαρτάνειν τε δὴ, ἐγὼ αὐτῷ ξύλλογον τίθεσθαι. ταῦτα δὴ, τῷ ἀρχομένῳ ποιητέον. ὥστε οὐδὲν ἧττον ἔλεγον, δίκαιον λέγω, τὸ τοῦ κρείττονος ποιεῖν συμφέρον. Εἶεν ἦν δ' ἐγὼ ὦ θρασύμαχε· δοκῶσοι συνεφαίνετο; Γαύγε μὲν οὖν ἔφη, ὅτι γοῦν μὴ ἐπιξυλλὴς σὺ τοῖς λόγοις ἡμῖν συνεργαῦτά σι δῆλόν μοι ἔσεσθαι ὡς ἐρόμην· εἰ μὲν οὖν δὴ ἔτι ἐρήσῃ ἔφη, καὶ οὐδὲν γέ σοι ἐροῦμεν. οὔτε γὰρ αὖ με λάθοις ἡσυχῇ, οὔτε μὴ λαθὼν, βιάσασθαι τῷ λόγῳ δεῦρο. οὐδέ γ' αὖ ἐπιχειρήσω μοι ἐγὼ ὦ μακαρίε. ἀλλ' ἵνα μὴ αὖθις ἡμῖν τοιοῦτον ἐγγένηται, διέρεσθαι ποτέρως λέγεις. τὸν ἄρχοντά τε καὶ τὸν κρείττονα, τὸν ὡς ἕπος εἰπεῖν, ἢ τὸν ἀκριβῆ λόγῳ ὃν δὴ ἔλεγες. οὐ γὰρ ξυμφέρον κρείττονος ὄντος, δίκαιον εἶναι τῷ ἥττονι ποιεῖν. Τὸν τῷ ἀκριβεστάτῳ ἔφη λόγῳ ἄρχοντα ὄντα. πρὸς ταῦτα κακούργει, καὶ συνεφαίνετ' ἔτι λαύασαι. οὐδεό σου παρείσομαι. ἀλλ' οὐ μὴ οἷός τ' ἦς. ἆρ' ἔστιν ὅστις τέχνην ἐπιχειρεῖ λέγοντα, καὶ συνεφαίνετο θρασύμαχος. Καὶ γὰρ ἔφη ἐπιχείρησας. οὐδὲν ὧν καὶ ταῦτα. Ἆρ' οὐκ ἐγὼ τῶν τοιούτων. ἀλλ' ἐπί μοι· ὁ τῷ ἀκριβεῖ λόγῳ ἰατρὸς, ὃν ἄρτι ἐλέγομεν, πότερον χρηματιστὴς ἔστιν, ἢ τῶν κομιζόντων θεραπευτής· καὶ λέγε πρὸς τῷ ὅτι ἰατρὸν ὄντα· τῶν κομιζόντων ἔφη θεραπευτής· τί δὲ κυβερνήτης· ὁ ὀρθῶς κυβερνήτης· ναυτῶν ἄρχων ἔστιν, ἢ ναύτης· Ναυτῶν ἄρχων. Οὐδὲν οἶμαι ταῦτ' ὑπολογίσεσθαι· ὅτι οὐκ ἔστι κλητὸς ναύτης· οὐ γὰρ καὶ τὸν πρεσβύτην κυβερνήτην καλεῖται, ἀλλὰ κατὰ τὴν τέχνην καὶ τὴν τῶν ναυτῶν ἀρχήν. ἀληθῆ ἔφη. οὐκοῦν ἐκείνην τοῦτον, ἔστι τι ξυμφέρον· Γαύγε. οὐκοῦν καὶ τέχνη ἐστὶν ἰατρικὴ· ἔστιν ἐπὶ τούτῳ πέφυκεν· ἐπὶ τὸ ξυμφέρον ἐκείνῃ, ἔκτεσίν τε καὶ ἐκπορίζειν. Ἐπὶ τοῦτο ἔφη. Ἆρ' οὖν καὶ ἐκείνην τῶν τεχνῶν ἔστι τι ξυμφέρον ἄλλο, ἢ ὅτι μάλιστα τελέαν εἶναι; Πῶς λέγεις, ὡς περὶ ἔφην ἐγὼ ἔμε ἔχοιο. εἰ ἦν σῶμα ἐκεῖ σώματι εἶναι σώματι, ἦ προσδεῖταί τινος, εἶποι μ' ἄν, ὅτι παντάπασιν μὲν οὐ προσδεῖται· διὰ ταῦτα καὶ ἡ τέχνη οὐδὲ ἐστὶ κακὴ ναῦ ἐρημίᾳ. ὅτι σῶμά ἐστι τοιοῦτον· καὶ οὐκ ἦν ἀρκεῖ αὐτῷ τοιούτῳ ᾖ. διὰ τοῦτο ἂν ὅπως ἐκπορίζῃ τὰ ξυμφέροντα, ἵν' οὕτω παρασκευάσθη ἡ τέχνη. ἦ ὀρθῶς σοι δοκῶ ἔφην ἂν ἐπεῖν ἅπαν λέγειν, ἢ οὔ. Ὀρθῶς ἔφη, τὸ δὲ σόν· αὐτὴ ἡ ἰατρικὴ ἐστὶ πονηρά, ἢ ἄλλη τις τέχνη, ἐάθ' ὅτι προσδεῖταί τινος ἀρετῆ· ὥστε δὴ ὀφθαλμοὶ ὄψεως, κἢ ὦτα ἀκοῆς, κἢ δὴ ταῦτα ἐπ' αὐτοῖς δεῖ τινος τέχνης τ' ἐγὼ ξυμφέρον ἐς ταῦτα σκεψομένης τε κἢ ἐκπορίζουσης; ἆρα κἢ ἐν αὐτῇ τῇ τέχνῃ ἔσται ἐλλείπειν, κἢ δεῖ ἑτέρας τέχνης, καὶ ἐκείνης τέχνης ἄλλης τέχνης, κἢ τις αὐτῇ τὸ ξυμφέρον σκέψεται),

καὶ

ἢ τῇ σκοπουμένῃ ἑτέρας καὶ τοιαύτης· ἢ τοῦτ' ἔστιν ἀπέραντον; ἢ αὐτὴ αὑτῇ ἡ συμφέρον σκέψεται· ἢ ἄτε αὐτὴ ὅτι ἄλλης προσδεήσῃ οὐ πρὸ αὐτῆς πορεύσεται ἡ συμφέρον σκοπεῖν· οὔτε γὰρ πόρρω, οὔτε ἀμαρτίας οὐδεμίας, οὐδεμιᾶς τύχης παίρεσιν. ἀεὶ προσήκει τύχης ἄλλῳ τὸ συμφέρον ζητεῖν, ἢ ἐκείνῳ οὗ τύχη ἐστίν· αὕτη δὲ ἀβλαβὴς καὶ ἀκέραιος ἔσται ὀρθὴ οὖσα. ἕως πρὸ αὐτῆς ἐνῇσῃ ἀκριβὴς ὅλη πρὸ ἐστί, καὶ σκόπει ἐκείνῳ τῷ ἀκριβεῖ λόγῳ, οὕτως ἢ ἄλλως ἔχει. οὕτως ἔφη φαίνεται. οὐκ ἄρα ἰῶ δίκαιε ἰατρικὴ ἰατρικῆς τὸ συμφέρον σκοπεῖ, ἀλλὰ σώματι. ναὶ ἔφη. οὐδὲ ἱππικὴ ἱππικῆς, ἀλλ' ἵππους, οὐδὲ ἄλλη τέχνη οὐδεμία, ἑαυτῇ. οὐδὲ γὰρ προσδεῖται. ἀλλ' ἐκείνῳ, ἅ τέχνη ἐστί. φαίνεται ἔφη οὕτως. ἀλλὰ μὴν ὦ θρασύμαχε ἄρχουσί γε αἱ τέχναι, καὶ κρατοῦσιν ἐκείνου ἃ πρὸ αὐτῶν τέχναι. συνεχώρησεν οὐ ταῦθα καὶ μάλα μόγις. οὐκ ἄρα ἐπιστήμη γε οὐδεμία, ἡ τῶν κρειττόνων συμφέρον σκοπεῖ, οὐδ' ἐπιτάττει· ἀλλὰ ἡ τοῦ ἥττονός τε καὶ ἀρχομένου ὑπὸ ἑαυτῆς. ξυνωμολόγησεν ἐπὶ πολὺ καὶ ταῦτα τελευτῶν. ἐπιχείρει δὴ τοίνυν αὐτὰ μάχεσθαι· ἐπειδὴ δὲ ὡμολόγησεν, ἄλλο τι φῶν ἰῶ δίκαιε· οὐδὲ ἰατρὸς οὐδεὶς κυβερνήτῃ ἰατρὸς, ἡ τῷ ἰατρῷ συμφέρον σκοπεῖ, οὐδ' ἐπιτάττει, ἀλλὰ ἡ τῷ κάμνοντι· ὡμολόγηται γάρ, ὁ ἀκριβὴς ἰατρὸς, σωμάτων ἄρχων, ἀλλ' οὐ χρηματιστής· ἢ οὐχ ὡμολόγηται; ξυνέφη, οὐκοῦν καὶ ὁ κυβερνήτης ὁ ἀκριβὴς, ναυτῶν εἶναι ἄρχων· ἀλλ' οὐ ναύτης; ὡμολόγηται. οὐκ ἄρα ὅγε τοιοῦτος κυβερνήτης τὸ καὶ ἄρχων, ἡ τῷ κυβερνήτῃ συμφέρον σκέψεται καὶ προστάξει, ἀλλὰ ἡ τῷ ναύτῃ τὸ καὶ ἀρχομένῳ. ξυνέφησε μόγις· οὐκοῦν ἰῶ δίκαιε θρασύμαχε· οὐδ' ἄλλος οὐδεὶς ἐν οὐδεμιᾷ ἀρχῇ καθόσον ἄρχων ἐστί, τὸ αὐτῷ συμφέρον σκοπεῖ οὐδ' ἐπιτάττει, ἀλλὰ τὸ τῷ ἀρχομένῳ, καὶ ᾧ αὖ αὐτὸς δημιουργεῖ, καὶ πρὸς ἐκεῖνο βλέπων· καὶ τὸ ἐκείνῳ συμφέρον, καὶ πρέπον, καὶ λέγει ἃ λέγει· καὶ πρᾶξαι ἃ πράξει ἅπαντα· ἐπειδὴ οὖν οὐταῦθα ἥμων τὸν λόγον· καὶ πᾶσι καταφανὲς ἦν, ὅτι ὁ τοῦ δικαίου λόγος ἀεὶ ἐναντίον τυγχάνοι τοῦ ἀδικεῖν, ὁ θρασύμαχος αὖτε τοῦ ἀρχικέναι, ἐπήμοι ἔφη ὦ Σώκρατες, τι δήποτε ἐστί; τί δὲ ἰῶ δίκαιε οὐκ ἀποκείνασθε χρὴ μᾶλλον, ἥτοι ταῦτα ὀφωτᾶν· ὅτι τοῖσι ἔφη κορυζῶντα τοῦ ἰοῦ· καὶ οὐκ ἀπομύττει δέμνιον· ὅς γε αὐτῷ· οὐδὲ πρόβατα οὐδὲ ποιμένα γιγνώσκεις· ὅτι δή τι μάλιστα ἰῶ δίκαιε, ὅτι οἴει ἐνὸς ποιμένας ἢ τοὺς βουκόλους, ἢ τῶν προβάτων, ἢ ἐν τῷ βοῶν ἀγαθὸν σκοπεῖν, καὶ παχαίνειν αὐτοὺς ἢ θράπτειν, πρὸς ἄλλό τι βλέποντας, ἢ ἐν τῶν δεσποτῶν ἀγαθὸν, καὶ ἐν αὐτῶν· καὶ δὴ καὶ οὐ ταῖς πόλεσιν ἄρχοντας· οἰόμεθα ἀληθῶς ἄρχουσιν, ἄλλως πως ἢ διανοεῖσθαι πρὸς τοὺς ἀρχομένους, ἢ ὥς πρὸ αὖ τις πρὸς πρόβατα διατεθείη, καὶ ἄλλό τι σκοπῶν αὐτοὺς ἢ νυκτὸς καὶ ἡμέρας, ἢ ἔξωρ· ὥστε καὶ ταὐτοὶ ὠφελησόμεθα ἢ οὔπω ἐρρέθη δὲ πολλάκις τοῦ δικαίου καὶ δικαιοσύνης, καὶ ἀδίκου τε καὶ ἀδικίας, ὡς τε ἀγνοεῖς, ὅτι ἡ μὲν δικαιοσύνη τε καὶ τὸ δίκαιον, ἀλλότριον ἀγαθὸν τῷ ὄντι, τοῦ κρείττονός τε καὶ ἄρχοντος συμφέρον· οἰκεία δὲ τῷ πειθομένῳ τε καὶ ὑπηρετοῦντι βλάβη· ἡ δὲ ἀδικία, τοὐναντίον, καὶ ἄρχει τῶν ἀληθῶς ἀνοήτων τε καὶ δικαίων· οἱ δ' ἀρχόμενοι ποιοῦσι τὸ ἐκείνου συμφέρον, κρείττονος ὄντος· καὶ εὐδαίμονα ἐκεῖνον ποιοῦσιν· ὑπηρετοῦντες αὐτῷ, ἑαυτοὺς δὲ οὐδ' ὁπωστιοῦν. σκοπεῖσθαι δὲ ὦ ἰῶ δίκαιε σώκρατες οὕτως χρή· ὅτι δίκαιος ἀνὴρ, ἀλλήλου παντὸς χοῦ ἧττον ἔχει. πρῶτον μὲν ἐν τοῖς πρὸς ἀλλήλους συμβολαίοις· ὅπου ἂν ὁ ἰοῦτος τῷ τοιούτῳ κοινωνήσῃ, οὐδαμοῦ ἂν εὕροις ἐν τῇ διαλύσει τῆς κοινωνίας, πλέον ἔχοντα ἢν δίκαιον τοῦ ἀδίκου, ἀλλ' ἧττον· ἔπειτα ἐν τοῖς πρὸς πόλιν πόλεν ὅταν τινὲς ἐστρατεύσωσιν, ὁ μὲν δίκαιος ἀφ' ὧν ἴσων πλέον ἐστρατεύσατο· ἧττον. ὅταν τε λύμαις, ὁ μὲν, οὐδὲν, ὁ δὲ, πολλὰ κερδαίνει· καὶ γὰρ ὅταν ἀρχήν τινα ἄρχῃ ἰδιώτης, ἔνθα μὲν δικαίῳ ὑπάρχει, κἀκεῖ μηδεμία ἄλλη ζημία, τά γε οἰκεῖα δι' ἀμέλειαν μοχθηροτέρως ἔχειν· ἐκ δὲ τοῦ δημοσίου μηδὲν ὠφελεῖσθαι, σφίσι δὲ δίκαιον εἶναι. πρὸς δὲ τούτοις ἀπέχεσθαι τοῖς οἰκείοις χρὴ τοῖς γνωρίμοις, ὅταν μηδὲν ὠφελῇ αὐτοῖς ὑπερτῶν παρὰ τὸ δίκαιον· τῷ δὲ ἀδίκῳ, πάντα τούτων τἀναντία ὑπάρχει·

λέτω γοῦν ὃν πρῶτον σὺ ἔλεγον. ἦν μεγάλα δυνάμενον πολίτην κτεῖν. ἔξεστιν οὖν σκόπει. εἰ πρὸς βούλει κρίνειν, ἔσω μᾶλλον ξυμφέρει ἀδίκῳ αὐτῷ ἄδικον εἶναι. ἢ δίκαιον. πάντων δὴ ῥᾴστα μαθήσῃ, ἐὰν ἐνθυμῇ πρὸς τελεωτάτην ἀδικίαν ἔλθῃς. ἢ ἦν μὲν ἀδικήσαντα δύνασθαι μονάρχην ποιεῖν τοὺς δὲ ἀδικηθέντας, καὶ ἀδικεῖσθαι οὐκ ἀεὶ ἐθέλοντας, ἀθλιωτάτους. ἔστι δὲ ἔξεστι τυραννίς, ἣν οὐ κατὰ σμικρὸν τἀλλότρια καὶ λάθρα καὶ βίᾳ ἀφαιρεῖσθαι. καὶ ἱερὰ καὶ ὅσια. καὶ ἴδια. μὴ δημόσια. ἀλλὰ ξυλλήβδην. ὧν ἑνὶ ἑκάστῳ μόρῳ. ὅταν τις ἀδικήσας μὴ λάθῃ, ζημιοῦσθαι καὶ ὀνείδη ἔχει τὰ μέγιστα. καὶ γοῦν ἱεροσύλοι καὶ ἀνδραποδισταὶ. καὶ τοιχωρύχοι. καὶ ἀποστερηταί. καὶ κλέπται. οἱ κατὰ μόρια ἀδικοῦντες τῶν τοιούτων κακουργημάτων, καλοῦνται. ἔπειδὰν δέ τις πρὸς τοῖς τῶν πολιτῶν χρήμασι καὶ αὐτοὺς ἀνδραποδίσαμενος δουλώσηται, ἀντὶ τούτων τῶν αἰσχρῶν ὀνομάτων, μάκαρες καὶ εὐδαίμονες καὶ μακάριοι κέκληται, οὐ μόνον ὑπὸ τῶν πολιτῶν, ἀλλὰ καὶ ὑπὸ τῶν ἄλλων. ὅσοι αὐτὸν πεύσονται αὐτὸν τὸν ὅλον ἀδικίας ἀδικηθέντα. οὐ γὰρ τὸ ποιεῖν τὰ ἄδικα, ἀλλὰ τὸ πάσχειν φοβούμενοι, ἐνδείλιζουσιν οἱ ἐναντίζοντες τὸν ἀδικίαν. οὕτως ὦ Σώκρατες ἰσχυρότερον καὶ ἐλευθεριώτερον. καὶ δεσποτικώτερον, ἀδικία δικαιοσύνης ἐστίν. ἐὰν οὕτως γιγνομένη. καὶ ὅπερ ἐξ ἀρχῆς ἔλεγον, τὸ μὲν τῷ κρείττονος ξυμφέρον, τὸ δίκαιον τυγχάνει ὄν. τὸ δ' ἄδικον, ἑαυτῷ λυσιτελοῦντε καὶ ξυμφέρον. Ταῦτα εἰπὼν ὁ θρασύμαχος, οὐ νῷ ἔχων ἀπιέναι. ὡς πρὸ βαλανεὺς ἡμῶν κατανυστάσεις κατὰ τῶν ὤτων, ἀθρόον καὶ πολλὴν τὸν λόγον. οὐ μὴν ἔπασέν γε αὐτὸν οἱ παρόντες. ἀλλ' ἠνάγκασαν αὖτον μεῖναί τε καὶ παρέχειν τὸν εἰρημένων λόγον. καὶ δὴ ἔτως γε καὶ αὐτὸς πάνυ ἐδεόμην τε καὶ ἔφην. ὦ θαυμάσιε θρασύμαχε. οἷον ἐμβαλὼν λόγον, οὐ νῷ ἔχεις ἀπιέναι. πρὶν διδάξαι ἱκανῶς ἢ μαθεῖν, εἴτε οὕτως εἴτε ἄλλως ἔχει. ἢ σμικρὸν οἴει ἐπιχειρεῖν πρᾶγμα διορίζεσθαι. ἀλλ' ἐξὸν διακινδυνεύειν, ἢ αὖ διαγράμμους ἱκανοὺς ἡμῶν, λυσιτελεστάτην ζωὴν ζῇν; ἐπὶ γοῦν δίμαι ἔφη ὁ θρασύμαχος ἔγωγ' ἄλλως ἔχειν; ἔοικας ὦ δαίμων, ἤτοι ἡμῶν οὐδὲν κήδεσθαι. οὐδὲ τῷ φροντίζειν. εἴτε χεῖρον εἴτε βέλτιον βιωσόμεθα. ἀγνοοῦντε ἃ σὺ φῂς εἰδέναι. ἀλλ' ὦγαθέ. προθυμοῦ καὶ ἡμῖν σὺ δείξασθαι. οὐδοὶ κακῶς συνέσεσθαι, ὅ, τι αὖ ἡμᾶς τοιοῦσδε ὄντας θύρηθεν πόσεις ἔτως γοῦν δόσοι λέγω τόγε ἐμὲν, ὅτι οὐ πείθομαι. οὐδ' δίμαι ἀδικίαν δικαιοσύνης κερδαλεώτερον εἶναι. οὐδ' αὖ ἐᾷ τις αὐτὸν. μὴ μὴ δικαιολύπρακτον ἀδικεῖν. ἢ τῷ λανθάνειν, ἢ τῷ διαμάχεσθαι. ὅμως ἔμ γε οὐ πείθει, ὡς ἔστι τῶν δικαιοσύνης κερδαλεώτερον. ταῦτ' οὖν καὶ ὅτῳ ἴσως τις ἡμῶν πέπονθεν, ὃ μόνος ἐγὼ. πεῖσον οὖν ὦ μακάριε ἱκανῶς ἡμᾶς, ὅτι οὐκ ὀρθῶς βουλεύόμεθα, δικαιοσύνην ἀδικίας πολὺ πλείονος ποιούμενοι. καὶ πῶς ἔφησε πείσω. εἰ γοῦν δὴ καὶ σὺ ἔλεγον μὴ πέπεισαι, τίσιν ἔτι ποιήσω. ἢ ὃς πάνυ ψυχὴν φόβων, οὕτω ἦν λόγον. μὰ δί' ὦ δαίμων ἔτως μὴ σύγε. ἀλλὰ πρόσθεν μὲν ἐξ αὖ εἶπον, ἔμμενε τούτοις ἢ ἐὰν μεταπίθῃ, φανερῶς μεταπίθου, μὴ ἡμᾶς μὴ ὀξαπάτα. νῦν δὲ ὁρᾷς ὦ θρασύμαχε, ὅτι γοῦν τοὐμπροσθεν ἐπισκοπούμεθα, ὅτι ἦν ὡς ἀληθῶς ἰατρὸν ὁ πρῶτον ὁμολογόμενος, ἦν ὡς ἀληθῶς ποιμένα, οὐκέτι ὤου δεῖν ὕστερον ἀκριβῶς φυλάξαι. ἀλλὰ ποιμαίνειν οἴει αὐτὸν τὰ πρόβατα καθ' ὅσον ποιμήν ἐστιν, οὐ πρὸς ὃ τῶν προβάτων βέλτιστον βλέποντα. ἀλλ' ὡς πρὸ δαιτυμόνα πιαίνειν καὶ μέλλοντα ἑστιᾶσθαι, πρὸς τὴν θοινήσαν, ἢ αὖ πρὸς ὃ ἀγορᾶσθαι. ὡς πρὸ χρηματιστήν, ἀλλ' οὐ ποιμένα. τῇ δὲ ποιμενικῇ, οὐδήπου ἄλλοὐτου μέλει, ἢ ὅφ' ᾧ τέτακται. ὅπως τούτῳ ὃ βέλτιστον ἔσται. πρεῖ. ἐπὶ τάγε αὐτῆς ὥρᾳ εἶναι βελτίστη, ἱκανῶς δήπου ἐκπόρισαι. ὡς γ' αὖ μὴν οὐδὲ τῇ ποιμενικῇ εἶναι. οὕτω δὲ ὦμεν ἔτως γε ναὶ δὴ ἀναγκαῖον εἶναι ἡμῖν ὁμολογεῖν, πᾶσαν ἀρχὴν ἢ τοῦτο ἀρχή, μηδενὶ ἄλλῳ ὃ βέλτιστον σκοπεῖσθαι, ἢ ἐκείνῳ τῷ ἀρχομένῳ τε καὶ θεραπευομένῳ, αὖτε πολιτικῇ ἢ κατὰ ἰδιωτικὴν ἀρχήν. οὐ δὲ τοὺς ἀρχοντας οἰ ταῖς πόλεσι, ὡς ὡς ἀληθῶς ἀρχοντας ἐκόντας οἴει ἄρχειν; μὰ δί' οὐκ ἔφη. ἀλλ' εὖ οἶδα. τί δὲ δή δί' ἔτως ὦ θρασύμαχε πᾶς ἄλλας ἀρχὰς οὐκ οἴσεις, ὅτι οὐδεὶς ἐθέλει ἄρχειν ἑκών. ἀλλὰ μεθὸν αὐτοῦ-

σιν· ὡς ἀγὰ αὐτοῖσιν ὠφέλειαν ἐσομένην ἐκ τῆ ἀρχῆ. ἀλλὰ τοῖς ἀρχομένοις; ἐπὶ πολύ
δὲ ἐπὶ πολὺ ἐκείνοις μᾶλλόν τοι φαμὲν, ἐκείνοτε τῆ τέχνῃ, ὁτέῳ ἐπίεται ἢ. τῷ ἐπιτάττειν πλὴ
δύναμιν ἔχειν; ἢ ὧ μακάριε, μὴ παρὰ δίκαν ἀρχικείνου. ἵνα τί μὴ παίνωμεν. ἀλλὰ
τούτῳ ἔφη ἐπιτρέπω. οὐκοῦν καὶ ὠφέλιμον ἐκείνοις ὅτου ἰδίαν τινὰ ἡμῖν παρέχεται.
ἀλλ' οὐ κοινὴν. δῆον ἰατρικὴ μὲν ὑγίειαν κυβερνητικὴ δὲ σωτηρίαν ἐν τῷ πλοίῳ, ἢ αἱ
ἄλλαι οὕτω. ταύγε. οὐκοῦν καὶ μισθωτικὴ μισθὸν· αὕτη γοῦν αὐτῆς ἡ δύνα-
μις. ἢ πλὴ ἰατρικὴν σὺ καὶ πλὴ κυβερνητικὴν, πλὴ αὐτὴν καλεῖς. ἢ ἐὰν πᾶν βούλῃ
ἀκριβῶς διορίζειν ὧς τοῦτο ὑπόθου, ἐάν τι μᾶλλον ἐάν τις κυβερνῶν ὑγιὴς γίγνηται,
ἆρ' ἐμφέρειν αὐτῷ πλεῖν ἐν τῇ θαλάττῃ· οὔκουν τοῦτον καλεῖς μᾶλλον αὐτὴν ἰατ-
τικήν. οὐδῆτα ἔφη. οὐδέ γ' ἐμοὶ πλὴ μισθωτικὴν· ἐὰν ὑγιαίνῃ τὶς μισθαρνῶν.
οὐδῆτα. τί δέ· πλὴ ἰατρικὴν μισθαρνητικὴν, ἐὰν ἰώμενός τις μισθαρνῇ; οὐκ ἔφη,
οὐκοῦν τόνγε ὠφέλειαν ἐκείνης τῆς τέχνης, ἰδίαν ὁμολογήσαμεν εἶναι. ἔστω ἔφη. ἢν
τινα ἄρα ὠφέλειαν κοινὴν ὠφελοῦσται πάντες οἱ δημιουργοὶ, δῆλον ὅτι κοινῇ τινὶ τῷ
αὐτῷ προσχρώμενοι ἀπ' ἐκείνου ὠφελοῦνται. ἔοικεν ἔφη. φαμὲν δέ γ' ἐν μι-
σθὸν ἀργυρίου ὠφελεῖσθαι τοὺς δημιουργοὺς, ἀπὸ τοῦ προσχρῆσθαι τῇ μισθωτικῇ
τέχνῃ προσγίγνεσθαι αὐτοῖς. ξυνέφη μέγας. οὐκ ἄρα ἀπὸ τῆς αὐτοῦ τέχνης
ἐκάστῳ, αὐτὴ ἡ ὠφέλεια ἔστιν, ἡ τοῦ μισθοῦ λῆψις. ἀλλ' εἰ δεῖ ἀκριβῶς σκοπίσθαι, ἡ μὴ
ἰατρικὴ, ὑγίειαν φυεῖ· ἡ δὲ μισθαρνητικὴ, μισθόν· καὶ ἡ μὲν οἰκοδομητικὴ, οἰκίαν· ἡ δὲ μι
σθαρνητικὴ αὐτῇ ἑπομένη, μισθόν· καὶ αἱ ἄλλαι πᾶσαι οὕτω· ἡ αὐτῆς ἑκάστη ὀργα-
σθεῖσα, καὶ ὠφελεῖ ἐκεῖνο, ἐφ' ᾧ τέτακται. ἐὰν δὲ μὴ μισθὸς αὐτῇ προσγίγνη-
ται, ἐὰν ὅτι ὠφελεῖται ὁ δημιουργὸς ἀπὸ τῆς τέχνης; οὐ φαίνεται ἔφη· ἆρ' οὖν ἃ
δ' ὠφελεῖ τότε ὅταν πρᾶξιν ὀργάζηται. δῆμαι ἔγωγε. οὐκοῦν ὦ θρασύμαχε ἔστιν
ἴδη δῆλον, ὅτι οὐδεμία τέχνη οὐδ' ἀρχή, τὸ αὐτῇ ὠφέλιμον παρασκευάζει. ἀλλ' ὅπερ
πάλαι ἐλέγομεν, ἡ ᾧ ἀρχομένῳ καὶ παρασκευάζει καὶ ἐπιτάττει, ἡ ἐκείνου ξυμφέ
ρον. ἢ πέπεισαι ὅτῳ σκοπῶμεν, ἀλλ' οὐ ἡ τοῦ κρείττονος· ἔφη δὴ ταῦτα ἔγωγε ἃ φίλτερον
σύμαχε καὶ ἀπὶ ἔλεγον, μηδένα ἐθέλειν ἑκόντα ἄρχειν, καὶ τὰ ἄλλότρια κακὰ μετα
χειρίζεσθαι, αἰορθοῦντα. ἀλλὰ μισθὸν αἰτεῖν· ὅτι ὁ μέλλων καλῶς τῇ τέχνῃ πρά-
ξειν, οὐδέποτε αὐτῷ ἡ βέλτιστον πράξει καὶ τὰ πλὴ τέχνην ἐπιτάττων, ἀλλὰ ᾧ ἀρ-
χομένῳ. ξ δὴ εἶπα ὡς ἔοικε μισθὸν δεῖν ὑπάρχειν τοῖς μέλλουσιν ἐθέλειν ἄρχειν.
ἢ ἀργύριον, ἢ ἴμὴν, ἢ ζημίαν ἐὰν μὴ ἄρχῃ. πῶς δὴ λέγεις ὦ σώκρατες ἔφη ὁ
γλαύκων· τοὺς μὲν γοῦν δύο μισθοὺς γιγνώσκω· πλὴ δὲ ζημίαν ἵνα τινα λέγεις, καὶ ὡς
τὸ μισθοῦ μέρος εἴρηκας, οὐ ξυνῆκα· ἡ τῶν βελτίστων ἄρα μισθὸν ἔφην οὐ ξυνίης. δ' ὃν
ἄρχοισιν οἱ ἐπιεικέστατοι, ὅταν ἐθέλωσιν ἄρχειν. ἢ οὐκ οἶδα ὅτι ἡ φιλότιμόν τε, καὶ
φιλαργύρου εἶναι, ὀνείδος λέγεται τε καὶ ἔστιν; ἔγωγε ἔφη. δικαίως τοίνυν
ἵνα λέγεται, οὔτε χρημάτων οὕνεκα ἐθέλουσιν ἄρχειν οἱ ἀγαθοὶ, οὔτε τιμῆς· οὔτε γοῦν φα
νερῶς πρακτόμενοι τῆς ἀρχῆς οὕνεκα μισθὸν, μισθωτοὶ βούλονται κεκλῆσθαι, οὔτε λά
θρᾳ αὐτοὶ ἐκ τῆς ἀρχῆς λαμβάνοντες, κλέπται· οὐδ' αὖ τιμῆς οὕνεκα. οὐ γοῦν εἰσι φι-
λότιμοι· δεῖ δὴ αὐτοῖς ἀνάγκην προσεῖναι καὶ ζημίαν, εἰ μέλλουσιν ἑκόντες ἄρχειν· ὅ-
θεν κινδυνεύει ἡ ἑκόντα ἰέναι ἡ ἄρχειν ἰόντα. ἀλλὰ μὴ ἀνάγκη αἰσχρὸν νενομίσθαι. ἢ
δὲ ζημίας μείζων, ἡ ἐκεῖνο πονηροτέρου ἄρχεσθαι· ἐαὶ μὴ αὐτοὺς ἐθέλοντας ἄρχειν. ἴσως δεῖ
σαντὰς μὴ φαίνονται ἄρχειν, ὅταν αὖ χωσιν οἱ ἐπιεικεῖς· καὶ τότε γε χρόνου ἡ ἄρχειν. οὐκ ὡς ἐπ' ἀγα
θὸν τι ἰόντες· ἐδ' ὡς δύπα ἡσόμενοι ἐν αὐτῷ, ἀλλ' ὡς ἐπ' ἀνάγ
καιον. καὶ οὐκ ἔχοντες ἑαυτῶν βελτίοσιν ἐπιτρέψαι πλὴ ἀρχὴν οὐδὲ ὁμοίους. ἐπεὶ εἰ
δεῖν δύο πόλις αὐτῶν ἀγαθῶν ἐγένοντο, τῷδε μάχιμον αἴ εἶναι ἡ μὴ ἄρχειν, ὥσπερ
νῦν ἡ ἄρχειν· καὶ οὗτοῦν ἂν καταφανεῖς γενέσθαι, ὅτι ὁ ὄντως ἀληθινὸς ἄρχων οὐ
πέφυκε ἡ αὐτῷ συμφέρον σκοπεῖσθαι, ἀλλὰ ἡ τῷ ἀρχομένῳ· ὥστε πᾶς ἂν ὁ γινώ
σκων, ἡ ὠφελεῖσθαι μᾶλλον ἑλοίτο ὑπ' ἄλλου, ἢ ἄλλον ὠφελῶν, πράγματα ἔχειν.
ἔστω μὲν οὖν ἔγωγε οὐδαμῇ συγχωρῶ θρασυμάχῳ, ὡς ἡ δίκαιόν ἐστι, ἡ τοῦ κρείττο-

νος ξυμφόρου. ἀλλὰ ἔστιν μὲν δὴ καὶ ἐνταῦθα σκοπούμενα. πολὺ δέ μοι δοκεῖ μᾶλλον εἶναι, ὅπως μὴ λέγει θρασύμαχος· ἢ τῷ ἀδίκῳ βίον φάσκων εἶναι κρεῖττω, ἢ τῷ δικαίῳ· σὺ οὖν πότερος μᾶλλον ἡμῖν δοκεῖς, καὶ πότερον ὡς ἀληθῆ λέγεσθαι. ἢν τοῦ δικαίου ἔτι γε ἔφη, λυσιτελέστερον βίον εἶναι. ἤκουσας μοῦ δ' ἔτι ὅσα αὖ πρὸ τούτου θρασύμαχος ἀγανακτῶν τῷ ἀδίκῳ; ἤκουσα ἔφη. ἀλλ' οὐ πείθομαι. βούλει οὖν αὐτὸν πείθωμεν, εἰ δυνώμεθά πη ἴσως εὑρεῖν ὡς οὐκ ἀληθῆ λέγει; πῶς γὰρ οὐ βούλομαι δ' ὅς. εἰ μὲν τοίνυν μοῦ δ' ἔτι αὐτοῦ τοῦτο τοῦ τρόπου τείνοντες λέγωμεν αὐτῷ λόγον παρὰ λόγον. ὅσα μὲν ἀγαθὰ ἔχει ὁ δίκαιον εἶναι, καὶ αὖθις οὗτος, καὶ ἄλλον ἡμεῖς, ἀριθμὸν δώσει τοιαῦτα καὶ μείζω, ὅσα εἰ ἐπὶ τέρου οὗ ἐπὶ τέρῳ λέγομεν. καὶ ἴσως δικαστῶν τινῶν τῶν διακεινοῦντων δυνησόμεθα· εἰ δὲ ὡς πρὸ τοῦ ἀρτι ἀνομολογούμενοι πρὸς ἀλλήλους σκοπῶμεν, ἅμα αὐτοί τε δικασταὶ καὶ ῥήτορες ἐσόμεθα. γάνυμαι μὲν οὖν ἔφη· ὁπότερος οὖν σοι δοκεῖ μᾶλλον ἀρέσκει· οὕτως ἔφη.

Ἴθι δή μοι δοκεῖ ὦ θρασύμαχε, ἀπόκριναι ἡμῖν ἐξ ἀρχῆς πρῶτον πλείαν ἀδικίαν, πλείονος οὔσης δικαιοσύνης· λυσιτελέστερον φὴς εἶναι; πάνυ μὲν οὖν καὶ φημὶ ἔφη. καὶ ἐπὶ ἅ ἔρχεται. φέρε δὴ ἐπ' οἰκίαν τοῦτο αὐτῶν πῶς λέγεις. τὴν μέν που ἀρίστην αὐτῶν καλεῖς· τὴν δικαίαν; πῶς γὰρ οὔ· οὐκοῦν πρὸς μὲν δικαιοσύνην ἀρίστην, πρὸς δὲ ἀδικίαν κακίαν; οὕτως γ' ἔφη ὡς ἔστι· ἐπειδὴ καὶ λέγω, ἀδικίαν μὲν λυσιτελεῖν, δικαιοσύνην δὲ οὔ. ἀλλὰ τί μήν. τοιαύτην δ' ὅς. ἣ πρὸς δικαιοσύνην κακίαν; ἔκ. ἀλλὰ πάνυ γενναίαν βύθειαν. τὴν ἀδικίαν ἄρα κακὴν θέαν κακεῖς; οὔκ. ἀλλ' εὐβουλίαν ἔφη. ἦ καὶ φρένιμόν σοι ὦ θρασύμαχε δοκοῦσιν εἶναι καὶ ἀγαθοὶ οἱ ἄδικοι; εἴγε πλέως ἔφη οἷός τε ἀδικεῖν· πόλεις τε καὶ ἔθνη δυνάμενοι αἱθρεῖν ὑφ' ἑαυτοὺς πειᾶσθαι. σὺ δ' ἴεμαι ἴσως ζοὺς τὰ βαλλαίτια ἀφορτίμους τοὺς λέγειν· λυσιτελεῖ μὲν οὖν δ' ὅς καὶ τὰ τοιαῦτα, ἐὰν πρὸ λαθεῖν. ἴσι δὲ οὐκ ἄξια λόγου, ἀλλ' ἃ νῦν δὴ ἔλεγον. ἔστω μέντοι ἔφην, ἐκ ἀγνοῶ ὅτι βούλει λέγειν· ἀλλὰ τόδε ἐθαύμασα, εἰ σοὶ αὐτῇ τῇ σοφίᾳ τίθης μὴ πρὸ τὴν ἀδικίαν. πρὸ δὲ δικαιοσύνην, οὐ τοῖς ἐναντίοις. ἀλλὰ πάνυ οὕτω τίθημι. ἔστω δὴ ἔτι ἤδη σκεπτέον ἐστὶν οὕτω, καὶ ἐκ τοῦ λόγου ἐκεῖνο ὃ τι τὴς ἔστι. ἐγὼ δ' λυσιτελεῖν μὲν πρὸ τὴν ἀδικίαν ἐτίθησο. καὶ κακίαν μέντοι πρὸ αὐτὴν ὁμολογεῖς εἶναι, ὡς πρὸ ἄλλοι τινές, ἐγὼ μὲν οὐ τί φημι, καὶ τὰ τὰ νομιζόμενα λέγοντες. ναὶ δὲ δ' ὅς, ἔτι φύσεις αὖ καὶ καλὸν, καὶ ἰσχυρὸν εἶναι· καὶ τἄλλα αὖ τῷ πάντα προσθήσεις, ἃ ἡμεῖς τῷ δικαίῳ προσετίθημεν. εἰ πειθή γε καὶ οὐ ἀρετῇ αὐτὸ τῇ σοφίᾳ ἐτόλμησας θέναι. ἀληθέστατα ἔφη μαντεύῃ. ἀλλ' οὐ μέντοι νῦν δ' ἔτι ἀκριβεῖόν γε τῷ λόγῳ ἐπεξελθεῖν σκοπούμενον, ἕως ἂν σε ὑπολαμβάνω λέγειν ἃ πρὸ διανοῇ· ἐμοὶ γὰρ δοκεῖς σὺ ὦ θρασύμαχε ἀπὸ χρῶς ναὶ οὐ σκώπτειν, ἀλλὰ τὰ δοκοῦντα τῷ τῆς ἀληθείας λέγειν. τί δέ σοι ἔφην ἔστω διαφέρει, εἴτέ μοι δοκῇ εἴτε μή, ἀλλ' οὐ τὸν λόγον ἐλέγχεις· ἀλλ' ἴσθι δ' ἔτι. ἀλλὰ τόδε μοι πειρῶ εἰπεῖν πρὸς τοῦ ζοὸς ἀκροκείνασθαι. ὁ δίκαιος, τῆ δικαίου δοκεῖ τί σοι αὖ ἐθέλειν πλέον ἔχειν; οὐδαμῶς ἔφη. οὐ γὰρ αὖ ἦν ἀστεῖος ὡς πρὸ ναῦς καὶ εὐήθης. τί δὲ τῆς δικαίας πράξεως; οὐδὲ τῆς δικαίας ἔφη. ἦ δὲ δίκαιον ἀξιοῖ αὖ πλεονεκτεῖν, καὶ ἡγεῖται δίκαιον εἶναι, ἢ ἐκ αὖ ἡγεῖται δίκαιον. ἡγεῖται αὖ δ' ὅς καὶ ἀξιοῖ· ἀλλ' οὐκ αὖ δύναται. ἀλλ' ἐὰν ἦν δ' ἔτι ἐρώτω· ἀλλ' ἐὰ τῆ μὲν δικαίου μὴ ἀξιοῖ πλέον ἔχειν μηδὲ βούλεται ὁ δίκαιος, τῆδε δίκαιον; ἀλλ' οὕτως ἔφη ἔχει. τί δὲ δ' ὁ ἄδικος. ἆρα ἀξιοῖ τῆ δικαίᾳ πλεονεκτεῖν, καὶ τῆς δικαίας πράξεως; πῶς γὰρ οὔκ, ἔφη· ὃς γε πάντων ἔχειν πλέον ἀξιοῖ· οὐκοῦν καὶ δίκαιος ἀνθρώπου τοῦ καὶ πράξεως, ὁ ἄδικος πλεονεκτήσει, καὶ ἁμιλλήσεται· ὡς ἀπάντων πλεῖστον αὐτὸς λαβεῖν. ἔστι ταῦτα. ὧδε δ' λέγομεν ἔφην. ὁ δίκαιος τῆ μὲν ὁμοίᾳ, οὐ πλεονεκτεῖ· τῆδε δὲ ἀνομοίᾳ. ὁ δὲ ἄδικος, τῆ τε ὁμοίου καὶ τῆ ἀνομοίᾳ. ἄριστα ἔφη εἴρηκας. ἔστι δὲ γε ἔφην φρόνιμός τε καὶ ἀγαθὸς, ὁ ἄδικος. ὁ δὲ δίκαιος, ἀδέτερα, καὶ τῆδ' ἔφη δῆ. ἀνομοῖ ἦν δ' ἔτι ὦ, καὶ ἔοικε τῷ φρονίμῳ καὶ τῷ ἀγαθῷ, ὁ ἄδικος. ὁ δὲ δίκαιος, ἀνόμοιος.

πῶς γὰρ οὐ μέλλει ἔφη ὁ τοιοῦτος ὢν καὶ ἐοικέναι τοῖς τοιούτοις. ὁ δὲ μὴ, ἐοικέναι. καλῶς. τοιοῦτος ἄρα ἐστὶν ἑκάτερος αὐτῶν, οἷς περ ἔοικεν. ἀλλὰ τί μέλλει ἔφη. εἶεν ὦ θρασύμαχε· μουσικὸν δέ τινα λέγεις· ἕτερον δὲ ἄμουσον; ἔγωγε. πότερον φρόνιμον, καὶ πότερον ἄφρονα. τὸν μὲν μουσικὸν δήπου φρόνιμον. τὸν δὲ ἄμουσον, ἄφρονα. οὐκοῦν ἅπερ φρόνιμον, ἀγαθόν. ἃ δὲ ἄφρονα, κακόν; ναί. τί δὲ ἰατρικόν, οὐχ οὕτως; οὕτω. δοκεῖ ἂν οὖν τίς σοι ὦ ἄριστε μουσικὸς ἀνὴρ, ἁρμοττόμενος λύραν, ἐθέλειν μουσικοῦ ἀνδρὸς, ἐν τῇ ἐπιτάσει καὶ ἀνέσει τῶν χορδῶν πλεονεκτεῖν, ἢ ἀξιοῦν πλέον ἔχειν; οὐκ ἔμοιγε. τί δὲ ἀμούσου; ἀνάγκη ἔφη. τί δὲ ἰατρικὸς, ἐν τῇ ἐδωδῇ ἢ πόσει ἐθέλειν ἄν τι ἰατρικοῦ πλεονεκτεῖν, ἢ ἀνδρὸς ἢ πράγματος; οὐδῆτα. μὴ ἰατρικοῦ δέ; ναί. περὶ πάσης δὲ ὅρα ἐπιστήμης τε καὶ ἀνεπιστημοσύνης. εἴ τίς σοι δοκεῖ ἐπιστήμων ὅς τις οὖν, πλείω ἂν ἐθέλειν αἱρεῖσθαι, ἢ ὅσα ἄλλος ἐπιστήμων, ἢ πράττειν, ἢ λέγειν; καὶ οὐ ταυτὰ τῷ ὁμοίῳ ἑαυτῷ, εἰς τὴν αὐτὴν πρᾶξιν. ἀλλ' ἴσως ἔφη ἀνάγκη τοῦτό γε οὕτως ἔχειν. τί δὲ ὁ ἀνεπιστήμων οὐχὶ ὁμοίως μὲν ἐπιστήμονος πλεονεκτήσειεν ἄν· ὁμοίως δὲ ἀνεπιστήμονος; ἴσως. ὁ δὲ ἐπιστήμων σοφός; φημί. ὁ δὲ σοφὸς ἀγαθός; φημί. ὁ ἄρα ἀγαθός τε καὶ σοφὸς, τοῦ μὲν ὁμοίου οὐκ ἐθελήσει πλεονεκτεῖν, τοῦ δὲ ἀνομοίου τε, καὶ ἐναντίου; ἔοικεν ἔφη. ὁ δὲ κακός τε καὶ ἀμαθὴς, τοῦ τε ὁμοίου καὶ τοῦ ἐναντίου; φαίνεται. οὐκοῦν ὦ θρασύμαχε ἦν δ' ἐγὼ ὁ ἄδικος ἡμῖν, τοῦ ἀνομοίου τε καὶ ὁμοίου πλεονεκτεῖ. ἢ οὐχ οὕτως ἔλεγες. ἔγωγε ἔφη. ὁ δέ γε δίκαιος, τοῦ μὲν ὁμοίου, οὐ πλεονεκτήσει. τοῦ δὲ ἀνομοίου; ναί. ἔοικεν ἄρα ἦν δ' ἐγὼ, ὁ μὲν δίκαιος τῷ σοφῷ καὶ ἀγαθῷ. ὁ δὲ ἄδικος, τῷ κακῷ καὶ ἀμαθεῖ. κινδυνεύει. ἀλλὰ μὴν ὡμολογοῦμεν, ᾧ γε ὅμοιος ἑκάτερος εἴη, τοιοῦτον καὶ ἑκάτερον εἶναι. ὡμολογοῦμεν γάρ. ὁ μὲν ἄρα δίκαιος ἡμῖν ἀναπέφανται, ὢν ἀγαθός τε καὶ σοφός. ὁ δὲ ἄδικος, ἀμαθής τε καὶ κακός. ὁ δὴ θρασύμαχος, ὡμολόγησε μὲν πάντα ταῦτα, οὐχ ὡς ἐγὼ νῦν ῥᾳδίως λέγω. ἀλλ' ἑλκόμενος, καὶ μόγις, μετὰ ἱδρῶτος θαυμαστοῦ ὅσου, ἅτε καὶ θέρους ὄντος. τότε καὶ εἶδον ἐγὼ πρότερον δὲ οὔπω, θρασύμαχον ἐρυθριῶντα. ἐπειδὴ δὲ οὖν διωμολογησάμεθα τὴν δικαιοσύνην ἀρετὴν εἶναι καὶ σοφίαν, τὴν δὲ ἀδικίαν, κακίαν τε καὶ ἀμαθίαν, εἶεν ἦν δ' ἐγώ. τοῦτο μὲν οὕτω κείσθω. ἔφαμεν δὲ δὴ καὶ ἰσχυρὸν εἶναι τὴν ἀδικίαν. ἢ οὐ μέμνησαι ὦ θρασύμαχε. μέμνημαι ἔφη. ἀλλ' ἔμοιγε, οὐδὲ ἃ νῦν λέγεις ἀρέσκει, καὶ ἔχω περὶ αὐτῶν λέγειν. εἰ οὖν λέγοιμι, εὖ οἶδ' ὅτι δημηγορεῖν ἄν με φαίης. ἢ οὖν ἔα με εἰπεῖν ὅσα βούλομαι, ἢ εἰ βούλει ἐρωτᾶν, ἐρώτα. ἐγὼ δέ σοι ὥσπερ ταῖς γραυσὶ ταῖς τοὺς μύθους λεγούσαις, εἶεν ἐρῶ. καὶ κατανεύσομαι, καὶ ἀνανεύσομαι. μηδαμῶς ἦν δ' ἐγὼ παρά γε τὴν σαυτοῦ δόξαν. ὥστε σοι ἔφη ἀρέσκειν. ἐπειδήπερ οὐκ ἐᾷς λέγειν. καίτοι τί ἄλλο βούλει; οὐδὲν μὰ Δία ἦν δ' ἐγώ. ἀλλ' εἴπερ τοῦτο ποιήσεις, ποίει. ἐγὼ δὲ ἐρωτήσω. ἐρώτα δή. τοῦτο τοίνυν ἐρωτῶ ὅπερ ἄρτι, ἵνα καὶ ἑξῆς διασκεψώμεθα τὸν λόγον, ὁποῖόν τι τυγχάνει ὂν δικαιοσύνη πρὸς ἀδικίαν. ἐλέχθη γάρ που, ὅτι καὶ δυνατώτερον καὶ ἰσχυρότερον εἴη ἀδικία δικαιοσύνης. νῦν δέ γε ἔφη, εἴπερ σοφία τε καὶ ἀρετή ἐστι δικαιοσύνη, ῥᾳδίως οἶμαι φανήσεται καὶ ἰσχυρότερον ἀδικίας. ἐπειδήπερ ἐστὶν ἀμαθία ἡ ἀδικία. οὐδεὶς ἂν ἔτι τοῦτο ἀγνοήσειεν. ἀλλ' οὔτι οὕτως ἁπλῶς ὦ θρασύμαχε ἔγωγε ἐπιθυμῶ. ἀλλὰ τῇδέ πῃ σκέψασθαι, πόλιν φαίης ἂν ἄδικον εἶναι, καὶ ἄλλας πόλεις ἐπιχειρεῖν δουλοῦσθαι ἀδίκως, καὶ καταδεδουλῶσθαι. πολλὰς δὲ καὶ ὑφ' ἑαυτῇ ἔχειν δουλωσαμένην; πῶς γὰρ οὐκ ἔφη. καὶ τοῦτό γε ἡ ἀρίστη μάλιστα ποιήσει, καὶ τελεώτατα οὖσα ἄδικος. μανθάνω ἔφην ὅτι σὸς οὗτος ἦν ὁ λόγος. ἀλλὰ τόδε περὶ αὐτοῦ σκοπῶ. πότερον ἡ κρείττων γιγνομένη πόλις πόλεως ἄνευ δικαιοσύνης τὴν δύναμιν ταύτην ἕξει, ἢ ἀνάγκη αὐτῇ μετὰ δικαιοσύνης. εἰ μὲν ἔφη ὡς σὺ ἄρτι ἔλεγες ἔχει, ἡ δικαιοσύνη σοφία, μετὰ δικαιοσύνης. εἰ δ' ὡς ἐγὼ ἔλεγον, μετ' ἀδικίας. πάνυ ἄγαμαι ἦν δ' ἐγὼ ὦ θρασύμαχε, ὅτι οὐκ ἐπινεύεις μόνον καὶ ἀνανεύεις, ἀλλὰ καὶ ἀποκρίνῃ πάνυ καλῶς. σοὶ γὰρ ἔφη χαρίζομαι. εὖ γε σὺ ποιῶν. ἀλλὰ

